



John Williams White.


ARISTOPHANIS

EQUITES

EX RECENSIONE
GUILIELMI DINDORFII



LIPSIAE
IN LIBRARIA WEIDMANNIA
MDCCCXXI



GODOFREDO HENRICO SCHAEFERO

ET

AUGUSTO SEIDLERO

AMICIS ANIMI CANDORE VENERABILIBUS

D

GUILIELMUS DINDORFIUS

PRAEFATIO.

Consilio ac modo eodem, quo superiore anno Pacem edidi, prodeunt Equites. Quare in hac praefatione id tantum mihi est agendum ut de scriptis et editis huius fabulae exemplaribus breviter exponam.

Excerptas ex manuscripto libro Vaticano-Palatino lectiones habuit Kusterus, quarum partem in annotationibus protulit. Alia tacite ex eo codice adscivisse videtur. Impari pretio et auctoritate sunt tres libri Parisini, quibus Brunckius usus est, A. (2712.), B. (2715.), C. (2717.). Quem enim littera B. designavimus, in eo frequentes deprehendimus indocti alicuius grammatici correctiones. Quae res quibusdam in locis fraudi fuit Brunckio. De Ravennate libro Invernizii omnia nota. Denique lectiones aliquot ex libro Petri Victorii editae sunt in Actis philologorum Monacensium Vol. I. fasc. III. p. 370 — 376..

Inter veteres editiones una omnium maxime eminet Iuntina prima. Quam qui curavit, in Equitibus praeclaro usus est libro manuscripto. Plura ex hac editione in lucem protraximus ab prioribus editoribus neglecta.

Quae ex scholiis attuli, petita sunt ex editione Aldina, qua sola usus sum quum annotationes conscriberem. Nam de aliis quorum opera in scholiis Graecis in Aristophanem edendis versata fuit quid sentiam, alio loco declarabo.

Ricardi Bentleii annotationes in Equites editae sunt in the classical Journal Vol. XXIV.

Typothetae peccata paucula sunt et levia. P. 16. in annotatione ad v. 103. numerum 1069. muta in 1097.. P. 56. v. 561. punctum post *βαρυδαιμονούντων* positum mutandum in comma.

V. 70. quum libri partim *ὀκταπλάσιον*, partim *ὀκταπλάσια* ferant, Suidas autem *ὀκταπλασίονα* habeat, dubitari potest an haec sit genuina scriptura. Vides proceleusmaticorum numerum in dies augeri. — V. 947. Quod probabilius mihi videri dixi verbum decompositum restituendum esse, in eandem coniecturam incidit Petrus Elmsleius in the Edinburgh Review Vol. XIX. (No. XXXVII.) p. 91.: „We conclude," inquit, "our observations on these verses by mentioning, that in v. 940. of the Knights, at the end of a system of them, we must read *ἐπαποπνιγείης* instead of *ἀποπνιγείης*, in order to prevent the lengthening of a short syllable before a mute and a liquid. The compound *ἐπαποπνιγείης* may be compared with *ἐπιδιαῤῥαγῶ* v. 701."· Ibidem paullo ante p. 90. coniecturam protulit de v. 456. *παῖ αὐτὸν ἀνδρικώτατ', εὖ γαστρίζε καὶ τοῖς ἐντέροις*, cet.. Scribebam Lipsiae.

ADDITAMENTA AD PACEM.

V. 15. Corrige ἀπολελέσθαι μοι.

V. 17. in annotatione numerum 542. muta in 432..

V. 85. ἴθιεμε scribendum videtur Elmsleio ad Medeam p. 119..

V. 246. Elmsleius corrigit:

ἰὼ Μεγαρῆς, ὡς ἐπιτετρίψεσθ' αὐτίκα,
ὑπαξάπαντες καταμεμυττωτευμένοι.

V. 251. Scr. οἷα πόλις.

V. 504. οὐκ ἐς κόρακας ἐρρήσετε sine auctoris nomine Suidas v. φλᾶν t. III. p. 618..

V. 568. Add. Suidam v. πανδαισία t. III. p. 17..

V. 580. τῆς γλυκείας τρυγός Philostratus Imagg. II, 26. p. 852., quod ex hoc loco petitum videtur Dobraeo ad Nubes 1001. p. 40.. Add. Suidam t. III. p. 512..

V. 703. 704. affert scriptor περὶ κωμῳδίας in Commentariis in Nubes p. XXIX., qui confirmat revocatam ab me scripturam ἰδών.

V. 712. Imitatur Aelianus Epistola VII. τῆς Ὀπώρας οὖν καταγελάσας, τί ἀδικῶ;, ubi κατελάσας ex nostro loco restituit Kusterus ad Ecclesiazus. p. 806. ed. meae.

V. 772. Schol. MS. Platonis apud Gaisford. in Catal. codd. Clarkianor. p. 72. et apud Seidlerum de Aristophanis Fragm. p. 23..

V. 815. Schol. Platonis Clarkianus l. l. p. 77. ἀριστοφάνης εἰρήνῃ συνέλεγ' τ' ἀναβολὰς ποτώμεναι.

V. 919. Scholiastes ad Equites 982.

V. 1004. In annotatione dele haec: *Elmsleius ad Euripidis Medeam p. 74..*

V. 1251. In annotatione dele haec: *Non dissimile* — εἶχες τρόπων.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΙΠΠΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Τὸ δρᾶμα τῶν Ἱππέων ποιεῖται εἰς Κλέωνα, τὸν τῶν Ἀθηναίων δημαγωγόν. ὑπόκειται δὲ ὡς Παφλαγὼν νεώνητος, δουλεύων τῷ Δήμῳ, καὶ προαγόμενος παρ' αὐτῷ περιττότερον. ἐπιτιθεμένων δὲ αὐτῷ δυοῖν τοῖν ὁμοδούλοιν, καὶ κατά τινα λόγια πονηρίᾳ διάσημον ἀλλαντοπώλην Ἀγοράκριτον ἐπαγόντοιν, ὡς ἐπιτροπεύσῃ τοῦ δήμου τῶν Ἀθηναίων, αὐτοὶ οἱ Ἀθηναίων Ἱππεῖς συλλαβόντες ἐν χοροῦ σχήματι παραφαίνονται· ὑφ' ὧν προπηλακιζόμενος ὁ Κλέων ἀγανακτεῖ, καὶ διενεχθεὶς ἱκανῶς περὶ τοῦ ἀνώτερος εἶναι τῶν ἐναντιουμένων, σφᾶς ὡς συνομωμοκότας κατὰ τῆς πόλεως πρὸς τὴν Βουλὴν ἵεται· διώξαντος δὲ καὶ τοῦ ἀλλαντοπώλου κατὰ πόδας, οἱ Ἱππεῖς περί τε τοῦ ποιητοῦ τινα καὶ τῶν προγόνων, ἔτι δὲ καὶ τῶν συγκινδυνευόντων σφίσιν ἐπὶ ταῖς μάχαις ἵππων, πρὸς τοὺς πολίτας ἁδροτέρως διαλέγονται. ὁ δὲ ἀλλαντοπώλης περιγεγενημένος ἐν Βουλῇ μάλα γελοίως τοῦ Κλέωνος, καὶ λοιδορούμενος αὖθις αὐτῷ προσέρχεται· ἐκκαλεσαμένου δὲ τοῦ Κλέωνος τον Δῆμον, προσελθὼν οὗτος διαφερομένων ἀκροᾶται. λόγων δὲ πολλῶν γενομένων κατὰ τοῦ Κλέωνος, τοῦ Ἀγορακρίτου μάλ' ἐντέχνως τοῖς ἐπινοήμασι καὶ ταῖς θωπείαις, καὶ προσέτι ταῖς ἐκ τῶν λογίων ὑπερβολαῖς κρατοῦντος, κατὰ μικρὸν τοῖς λόγοις ὁ Δῆμος συνεφέλκεται. δείσαντος δὲ τοῦ Κλέωνος, κἀπὶ τὸ ψωμίζειν τὸν Δῆμον ὁρμήσαντος, ἀντιψωμίζειν ἅτερος ἐγχειρεῖ. καὶ τέλος τοῦ Δήμου τὴν ἑκατέρου σίτησιν συνέντος, εἶτα τῆς μὲν κενῆς, τῆς δὲ τοῦ Κλέωνος μεστῆς εὑρεθείσης, ἐλεγχθεὶς αὐτὸς, ὢν περιφανῶς τὰ τοῦ Δήμου κλέπτων, εἴκει θατέρῳ τῆς ἐπιτροπείας. μετὰ ταῦτα δὲ τοῦ ἀλλαντοπώλου τὸν Δῆμον ἀφεψήσαντος, εἶτα νεώτερον ἐξαυτῆς ἐς τοὐμφανὲς γεγονότα προάγοντος, Κλέων κε-

ρικείμενος τὴν Ἀγορακρίτου σκευὴν ἐπὶ παραδειγματισμῷ διὰ μέσης πόλεως ἀλλαντοπωλῶν ἀνὰ μέρος, καὶ τῇ τέχνῃ χρησάμενος, πέμπεται, καὶ ἡ ἐπιτροπὴ τῷ ἀλλαντοπώλῃ παραδίδοται. τὸ δὲ δρᾶμα τῶν ἄγαν καλῶς πεποιημένων.

Α Λ Λ Ω Σ.

Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλον, λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου· ὧν στρατηγῶν χρονισάντων, ἐδυσχέραινον οἱ Ἀθηναῖοι, καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν, καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς, ὑπέσχετο δεσμίους φέρειν τοὺς ἐναντίους εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη· ὅπερ καὶ γέγονε. κατὰ τὰς ὑποσχέσεις οὖν ἐστρατήγει, κυκῶν τὴν πόλιν. ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης, καθίησι τὸ τῶν Ἱππέων δρᾶμα δι' αὐτοῦ· ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο τὸ τοῦ Κλέωνος πρόςωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κύπτει φοβούμενος· εἶτα προφανεὶς αὐτὸς ἀνεδίδαξε τὸ δρᾶμα. ἔοικεν ὁ προλογίζων εἶναι Δημοσθένης, ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν· ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος, ὑποσχομένου τότε τοῖς Ἀθηναίοις παραστήσασθαι τὴν Πύλον εἴσω εἴκοσιν ἡμερῶν· ὃ καὶ κατώρθωσε διὰ τὸ πλεῖστα τῆς ἁλώσεως προπεπονῆσθαι Δημοσθένει. ἔοικε δὲ ὡς ἐπὶ οἰκίας δεσποτικῆς ποιεῖσθαι τὸν λόγον. εἴη δ' ἂν δεσπότης ὁ Δῆμος· οἰκία ἡ πόλις. οἰκέται δὲ δύο τοῦ Δήμου προλογίζουσι, κακῶς πάσχοντες ὑπὸ Κλέωνος. ὁ δὲ χορὸς ἐκ τῶν ἱππέων ἐστὶν, οἳ καὶ ἐζημίωσαν τὸν Κλέωνα πέντε ταλάντοις ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουσι δὲ τῶν οἰκετῶν τὸν μὲν εἶναι Δημοσθένην, τὸν δὲ Νικίαν· ἵνα ὦσι δημηγόροι οἱ δύο.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος δημοσίᾳ εἰς Λήναια, δι' αὐτοῦ τοῦ Ἀριστοφάνους. πρῶτος ἐνίκα· δεύτερος

Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Ὀλοφυρμοῖς. ἰστέον ὅτι εἰς τέσσαρα μέρη διῄρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζευγίτας, καὶ εἰς θῆτας.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Παράγει τινὰ Κλέωνα, τὸν καλούμενον
Παφλαγόνα, κἄτι βυρσοπώλην, πικρότατα
κατεσθίοντά πως τὰ κοινὰ χρήματα·
κἂν παραλογισμοῖς διαφέροντ' ἐῤῥωμένως
ἀλλαντοπώλην, εὐθέως τε σκατοφάγον,
πεισθέντα τ' ἐπιθέσθαι σὺν ἱππεῦσίν τισι,
τοῖς ἐν χορῷ παροῦσι, τῇ τῶν πραγμάτων
ἀρχῇ· Κλέωνός τ' ἐν μέσῳ κατηγορεῖ.
ἐγένετο τοῦτ'· ἐξέπεσεν ὁ Κλέων παγκάκως·
ὁ δὲ σκατοφάγος ἔτυχε προεδρίας καλῆς.

V. 1. ἀνάγει codex Matritensis apud Iriartium Catal. p. 179.

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΔΗΜΟΣΘΕΝΗΣ.

ΝΙΚΙΑΣ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ, οὗ ὄνομα ΑΓΟΡΑΚΡΙΤΟΣ.

ΚΛΕΩΝ.

ΧΟΡΟΣ ΙΠΠΕΩΝ.

ΔΗΜΟΣ.

ΑΡΙΣΤΟΦΑΝΟΥΣ ΙΠΠΗΣ.

ΔΗΜΟΣΘΕΝΗΣ. ΝΙΚΙΑΣ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ. ΚΛΕΩΝ. ΧΟΡΟΣ.

ΔΗΜΟΣΘΕΝΗΣ.

Ἰατταταιὰξ τῶν κακῶν, ἰατταταί.
κακῶς Παφλαγόνα τὸν νεώνητον κακὸν
αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
ἐξ οὗ γὰρ εἰςήῤῥησεν εἰς τὴν οἰκίαν,
πληγὰς ἀεὶ προςτρίβεται τοῖς οἰκέταις.

ΝΙΚΙΑΣ.

κάκιστα δῆθ' οὗτός γε πρῶτος Παφλαγόνων
αὐταῖσι διαβολαῖς.

VARIETAS LECTIONIS.

ΙΠΠΕΙΣ inscribitur fabula in editionibus Brunckianam antecedentibus.

V. 2. Cohaerent verba κακῶς κακὸν ἀπολέσειαν. Rem apertam fuerunt qui non intelligerent, decepti prava interpunctione Kusteri, qui comma post Παφλαγόνα intulit.

V. 2. 3. Priscianus t. II. p. 255. ed. Krehl..

V. 4. ἀφ' οὗ Suidas v. εἰςήῤῥησεν t. II. p. 33., Zonaras t. I. c. 648.. Quod alterius scripturae interpretamentum esse videtur. Hesychius t. I. c. 1298. ἐξ οὗ· ἀφ' οὗ. Apud Thomam M. p. 273. scriptum est ἐπεὶ γάρ. — εἰςέφρησεν varia lectio in scholiis.

V. 5. Codex Ravennas πληγαῖς ἀεὶ προςτρίβεται τοὺς οἰκέτας.

V. 7. Legebatur αὐταῖς διαβολαῖς. Quam nos restituimus anti-

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ κακόδαιμον, πῶς ἔχεις;

ΝΙΚΙΑΣ.

κακῶς καθάπερ σύ.

ΔΗΜΟΣΘΕΝΗΣ.

δεῦρό νυν πρόςελθ', ἵνα
ξυναυλίαν κλαύσωμεν Οὐλύμπου νόμον.

ΔΗΜΟΣΘΕΝΗΣ καὶ ΝΙΚΙΑΣ.

μὺ μῦ, μὺ μῦ, μὺ μῦ, μὺ μῦ, μὺ μῦ, μυ μῦ.

ΔΗΜΟΣΘΕΝΗΣ.

τί κινυρόμεθ' ἄλλως; οὐκ ἐχρῆν ζητεῖν τινα
σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;

ΝΙΚΙΑΣ.

τίς οὖν γένοιτ' ἄν; λέγε σύ.

---

quam scripturam ab metri aliquo correctore oblitteratam, αὐταῖσι διαβολαῖς, ea plurium testium fide nititur. Ita enim habent Iuntina I., scholiastes ad h. l. et ad v. 495., Suidas v. αὐταῖσι διαβολαῖς t. I. p. 383..

V. 8. δεῦρο δὴ πρόςελθ' codex Ravennas.

V. 9. ξυναυλίαν πενθήσομεν, Ὀλύμπου νόμον Toupius Em. in Suidam t. II. p. 193., III. p. 142., Brunckiu s. ξυναυλίαν πενθήσωμεν, Ὀλύμπου (οὐλύμπου MS. Oxon.) νόμῳ Suidas v. ξυναυλίαν κ. t. II. p. 650.. ξυναυλίαν κλαύσωμεν Ὀλύμπου νόμῳ Eustathius ad Homer. Iliad. p. 1175, 63.. (Idem hunc comici locum in mente habuit ad Iliad. p. 27. extr..) Vulgatam scripturam, etiam libri Ravennatis consensu firmatam, tuentur Valckenarius Diatrib. p. 166., Marklandus ad Euripid. Iph. Taur. 36., a Porsono indicati, et Koppiersius Observatt. philolog. p. 88., quanquam non eo quo debebant argumento usi. Ex alio poeta haec sive integra sive nonnihil immutata petiisse videtur Aristophanes. Theophylactum epist. XXXII. δεῦρο ξυναυλίαν, γερόντιον, κλαύσωμεν, comparavit Berglerus.

V. 10. Hunc versum Demostheni continuant edd. ante Brunckium. Niciae tribuunt A., B., C., Brunckius, Invernizius. Recte scholiastes: ὁμοφωνοῦσιν ἀμφότεροι μύζοντες.

V. 11. Etymolog. M. c. 68, 38..

ΔΗΜΟΣΘΕΝΗΣ.

σὺ μὲν οὖν μοι λέγε,
ἵνα μὴ μάχωμαι.

ΝΙΚΙΑΣ.

μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
ἀλλ' εἰπὲ θαῤῥῶν, εἶτα κἀγώ σοι φράσω.

ΔΗΜΟΣΘΕΝΗΣ.

πῶς ἂν σύ μοι λέξειας ἅ με χρὴ λέγειν;

ΝΙΚΙΑΣ.

ἀλλ' οὐκ ἔνι μοι τὸ θρέττε. πῶς ἂν οὖν ποτε
εἴποιμ' ἂν αὐτὸ δῆτα κομψευριπικῶς;

ΔΗΜΟΣΘΕΝΗΣ.

μή μοί γε, μή μοι, μὴ διασκανδικίσῃς·
ἀλλ' εὑρέ τιν' ἀπόκινον ἀπὸ τοῦ δεσπότου.

ΝΙΚΙΑΣ.

λέγε δὴ μόλωμεν ξυνεχὲς ὡδὶ ξυλλαβών.

ΔΗΜΟΣΘΕΝΗΣ.

καὶ δὴ λέγω· μόλωμεν.

ΝΙΚΙΑΣ.

ἐξόπισθέ νυν
αὐτὸ φάθι τοῦ μόλωμεν.

V. 14. ἵνα σοι μὴ μάχωμαι A., C.. — μὲν οὖν C.. μὲν οὐκ more suo Brunckius.

V. 16. Euripidis versus Hippolyt. 345..

V. 18. κομψέυριπικῶς A., B., C., MS. Vat. Pal., Suidas t. II. p. 344., Brunckius. κομψευριπιδικῶς edd. ante Brunckium. κομψευρικῶς Suid. MS. Oxon..

V. 19. μὴ 'μοιγε, μή μοι, Erfurdtius ad Sophoclis Aiac. 190. p. 514.. Fallitur. — διασκανδικίσῃς. Hesychius t. I. c. 967., Suidas t. I. p. 567..

V. 21. τινὲς τὸ μόλωμεν προπερισπῶσι. Schol.. προπερισπᾶται in ed. Lugd. B. 1624..

V. 22. ἐξόπισθε νῦν Brunckius.

ΔΗΜΟΣΘΕΝΗΣ.

αὐτό.

ΝΙΚΙΑΣ.

πάνυ καλῶς.
ὥςπερ δεφόμενός νυν ἀτρέμα πρῶτον λέγε
τὸ μόλωμεν, εἶτα δ' αὐτὸ κατεπάγων πυκνόν.

ΔΗΜΟΣΘΕΝΗΣ.

μόλωμεν αὐτὸ μόλωμεν αὐτομόλωμεν.

ΝΙΚΙΑΣ.

ἦν,
οὐχ ἡδύ;

ΔΗΜΟΣΘΕΝΗΣ.

νὴ Δία· πλήν γε περὶ τῷ δέρματι
δέδοικα τουτονὶ τὸν οἰωνόν.

ΝΙΚΙΑΣ.

τί δαί;

ΔΗΜΟΣΘΕΝΗΣ.

ὁτιὴ τὸ δέρμα δεφομένων ἀπέρχεται.

ΝΙΚΙΑΣ.

κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν,
θεῶν ἰόντε προςπεσεῖν που πρὸς βρέτας.

V. 24. Scribebatur δεφόμενος νῦν.

V. 26. ἦν, οὐχ ἡδύ; B., Brunckius. ἦν οὐχ ἡδύ. edd. ante Brunckium.

V. 29. ὁτιὴ τὸ δέρμα δεφομένων ἀπέρχεται Bentleius, Porsonus. ὁτιὴ τὸ δέρμα τῶν δεφομένων ἀπέρχεται edd. ante Brunckium, codex Ravennas. τὸ δέρμ' ὁτιὴ τῶν δεφομένων ἀπέρχεται B., Brunckius. ὁτιὴ τὸ δέρμ' ἀπέρχεται τῶν δεφομένων Reisigius I. p. 245..

V. 31. που codex Ravennas, Blomfield. ad Aeschyli Prometh. 124.. Legebatur ποι, quod habet Suidas v. βρέτας t. I. p. 456..

ΔΗΜΟΣΘΕΝΗΣ.

ποῖον βρέτας θεῶν; ἐτεὸν ἡγεῖ γὰρ θεούς;

ΝΙΚΙΑΣ.

ἔγωγε.

ΔΗΜΟΣΘΕΝΗΣ.

ποίῳ χρώμενος τεκμηρίῳ;

ΝΙΚΙΑΣ.

ὁτιὴ θεοῖσιν ἐχθρός εἰμ'. οὐκ εἰκότως;

ΔΗΜΟΣΘΕΝΗΣ.

εὖ προςβιβάζεις μ'.

ΝΙΚΙΑΣ.

ἀλλ' ἑτέρᾳ πῃ σκεπτέον.

ΔΗΜΟΣΘΕΝΗΣ.

βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσιν φράσω;

V. 32. ποῖον βρέτας θεῶν; ἐτεὸν ἡγεῖ γὰρ θεούς; Reisigius I. p. 77., probante Hermanno in Elem. doctr. metr. p. 129.. ποῖον βρετέττας ἐτεὸν ἡγεῖ γὰρ θεούς; Aldina, Iuntina II. reliquaeque ante Brunckium. ποῖον βρέτας ἐτεὸν ἡγεῖ γὰρ θεούς; A., C., Iuntina I.. ποῖον βρέτας ἐτεὸν ἡγεῖ σὺ θεούς; codex Ravennas. βρέτας; ποῖον βρέτας; ἐτεὸν ἡγεῖ γὰρ θεούς; MS. Vat. Pal., B., Brunckius. βρέτας; τὸ ποῖον ἐτεόν; ἡγεῖ γὰρ θεούς; Porsonus ad Euripidis Hecub. 794. p. 66., assentiente Gaisfordo ad Hephaestionem p. 216.. Nihil horum sibi satisfacere, modeste, ut solet vir eximius, declaravit Elmsleius annotatione ad Euripidis Bacchas 1325. p. 169.: secus alii, quorum disputationibus in septimo Commentariorum volumine locus erit.

V. 34. Interpunctionis emendatio Berglero debetur. ὁτιὴ θεοῖσιν ἐχθρός εἰμ' οὐκ εἰκότως. edd. omnes.

V. 35. ἑτέρα sine ι Aldina, Iuntina I., II. aliaeque veteres. Similiter infra v. 470. ἰδία. — πῃ reposui ex scholiaste. Utitur hac scriptura tacito Elmsleius ad Acharn. p. 218. ed. Lips.. Legebatur ποι.

V. 36. θεαταῖσι edd. ante Brunckium, Suidas v. οὐ χεῖρον t. II. p. 744..

ΝΙΚΙΑΣ.

οὐ χεῖρον· ἓν δ' αὐτοὺς παραιτησώμεθα,
ἐπίδηλον ἡμῖν τοῖς προςώποισιν ποιεῖν,
ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασι.

ΔΗΜΟΣΘΕΝΗΣ.

λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης
ἄγροικος ὀργὴν, κυαμοτρὼξ, ἀκράχολος,
Δῆμος πυκνίτης, δύςκολον γερόντιον
ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ
ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα,
πανουργότατον καὶ διαβολώτατόν τινα.
οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους,
ὁ βυρσοπαφλαγὼν, ὑποπεσὼν τὸν δεσπότην
ᾗκαλλ', ἐθώπευ', ἐκολάκευ', ἐξηπάτα
κοσκυλματίοις ἄκροισι, τοιαυτὶ λέγων·
ὦ Δῆμε, λοῦσαι πρῶτον ἐκδικάσας μίαν,
ἔνθου, ῥόφησον, ἔντραγ', ἔχε τριώβολον.
βούλει παραθῶ σοι δόρπον; εἶτ' ἀναρπάσας
ὅ τι ἂν τις ἡμῶν σκευάσῃ, τῷ δεσπότῃ

V. 38. ποεῖν Aldina, Iuntina I., II..

V. 40. 41. Suidas v. ἄγροικος t. I. p. 40., Zonaras t. I. c. 19..

V. 41. κυαμοτρὼς varia lectio in scholiis. — ἀκρόχολος A., Iuntina I., Suidas et Zonaras. ἀκρήχολος B.. ἀκράχολος relicui libri, in his C..

V. 42. πυκνίτης A., Aldina, Iuntina II., Stephanus Byz. v. πνὺξ, Suidas v. πυκνὶ t. III. p. 238.. πνυκίτης B., C., Iuntina I., Dio Chrysostomus t. I. p. 655., Bentleius, Brunckius.

V. 43. Suidas v. νουμηνία t. II. p. 634..

V. 48. ᾗκαλλεν scholiastes.

V. 49. ἐξηπάτα κοσκυλματίοις τισὶ, τοιαυτὶ λέγων· ἔνθου ῥόφησον, ἔχε τριώβολον. βούλῃ (βούλει ed. Mediol.) παραθῶ σοι δόρπον; Suidas v. κοσκυλμάτια t. II. p. 353..

V. 50. 51. Plutarchus t. II. p. 497. B., Etymol. M. c. 460,41..

V. 51. Suidas v. ἔνθου t. I. p. 748..

Παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρώην γ' ἐμοῦ
μᾶζαν μεμαχότος ἐν Πύλῳ Λακωνικὴν,
πανουργότατά πως περιδραμὼν, ὑφαρπάσας
αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ἡμᾶς δ' ἀπελαύνει, κοὐκ ἐᾷ τὸν δεσπότην
ἄλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων
δειπνοῦντος ἑστὼς ἀποσοβεῖ τοὺς ῥήτορας.
ᾄδει δὲ χρησμούς· ὁ δὲ γέρων σιβυλλιᾷ.
ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα,
τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον ἄντικρυς
ψευδῆ διαβάλλει· κᾆτα μαστιγούμεθα
ἡμεῖς· Παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας
αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων τάδε·
ὁρᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον;
εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε τήμερον.
ἡμεῖς δὲ δίδομεν· εἰ δὲ μὴ, πατούμενοι
ὑπὸ τοῦ γέροντος ὀκταπλάσια χέζομεν.

V. 54. — 57. Suidas v. *μᾶζα* t. II. p. 480., ubi scriptum est *ἐκ Πύλου — πανουργοτάτως παραδραμὼν, ὑφαρπάσας αὐτὴν, παρέθηκε κ. τ. ἑ.. — καὶ πρώην ἐμοῦ* Iuntina I..

V. 61. *ὁ δὲ γέρων* codex Ravennas et Suidas v. *σιβυλλιᾷ* t. III. p. 311.. Legebatur *εἶθ' ὁ γέρων*.

V. 62. 63. Suidas v. *μεμακκοακότα* t. II. p. 529., ubi Aristophanis locum omittit codex Oxoniensis.

V. 63. *ποιεῖται* Suidas l. l.. *τέχνην πεποίηται* idem t. III. p. 457..

V. 66. *ταδί* Brunckius.

V. 67. Moschopulus *περὶ σχεδῶν* p. 29..

V. 68. *ἀναπείσητ'* edd. ante Brunckium, codex Ravennas. *ἀναπείσετ'* C., scholiastes, Suidas v. *ἀναπείσετε* t. I. p. 176., qui in ipsis Aristophanis verbis *ἀναπείσητε* habet, Brunckius. — *σήμερον* edd. ante Brunckium, Suidas l. l.. *τήμερον* A., Brunckius.

V. 69. 70. Suidas v. *χέζομεν* t. III. p. 663..

V. 70. *ὀκταπλάσια* codex Ravennas. Legebatur *ὀκταπλάσιον*. Utraque scriptura coniuncta *ὀκταπλασίονα* legitur apud Suidam l. l. in editione Mediolanensi et codice Oxoniensi. Nam Kusterus *ὀκταπλάσιον* dedit tacite.

νῦν οὖν ἀνύσαντες φροντίσωμεν ὦ 'γαθὲ,
ποίαν ὁδὸν νῷν τρεπτέον καὶ πρὸς τίνα.

ΝΙΚΙΑΣ.

κράτιστ' ἐκείνην τὴν μόλωμεν ὦ 'γαθέ.

ΔΗΜΟΣΘΕΝΗΣ.

ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν·
ἐφορᾷ γὰρ αὐτὸς πάντ'. ἔχει γὰρ τὸ σκέλος
τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τἠκκλησίᾳ.
τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος,
ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χαόσιν·
τὼ χεῖρ' ἐν Αἰτωλοῖς· ὁ νοῦς δ' ἐν Κλωπιδῶν.

ΝΙΚΙΑΣ.

κράτιστον οὖν νῷν ἀποθανεῖν. ἀλλὰ σκόπει,
ὅπως ἂν ἀποθάνοιμεν ἀνδρικώτατα.

ΔΗΜΟΣΘΕΝΗΣ.

πῶς δῆτα, πῶς γένοιτ' ἂν ἀνδρικώτατα;

V. 71. ἀνύσαντε Bentleius.

V. 72. νῷ edd. ante Brunckium. νῷν codex Ravennas, C., in quo νὼν scriptum, Piersonus ad Moerin p. 265., Brunckius. νῦν A..

V. 73. ἣν pro τὴν codex Ravennas.

V. 74.—78. Suidas v. αὐτόχρημα t. I. p. 389.. 74.—76. Suidas v. Χαόνες t. III. p. 653..

V. 75. οὗτος codex Ravennas. αὐτὸς Suidas.

V. 77. τόσον αὐτοῦ τὸ βῆμα Suidas v. αὐτόχρημα in ed. Mediolan.. Vulgata scriptura utitur Eustathius ad Homerum p. 914, 27..

V. 78. Suidas v. Χαόνες t. III. p. 653., scholiastes ad Acharn. 604.. — Χαόσι scholiastes, Brunckius.

V. 79. ὁ νοῦς δ' ἐν edd. ante Brunckium, codex Ravennas. ὁ δὲ νοῦς Plutarchus t. II. p. 517. A., Eustathius ad Homerum p. 1764, 34., Suidae codex Oxoniensis v. κλωπεύω t. II. p. 332., Brunckius.

V. 80. Suidas v. νῶϊν t. II. p. 636..

V. 81. ἀποθάνοιμεν A., Iuntina I., Brunckius. ἀποθάνωμεν relicui libri, etiam Ravennas.

V. 82. Abest hic versus ab MS. Vat. Pal..

ΝΙΚΙΑΣ.

βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν.
ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.

ΔΗΜΟΣΘΕΝΗΣ.

μὰ Δί' ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος.
ἴσως γὰρ ἂν χρηστόν τι βουλευσαίμεθα.

ΝΙΚΙΑΣ.

ἰδού γ' ἄκρατον. περὶ ποτοῦ γοῦν ἐστί σοι;
πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;

ΔΗΜΟΣΘΕΝΗΣ.

ἄληθες οὗτος; κρουνοχυτρολήραιος εἶ.
οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν;
οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
ὁρᾷς; ὅταν πίνωσιν ἄνθρωποι, τότε
πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,
εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.
ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χοᾶ,
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.

V. 83. 84. Athenaeus t. I. p. 471., Suidas v. νῷϊν t. II. p. 636..

τατος
V. 84. αἱρετώτερος Suid. MS. Oxon. l. l..

V. 86. βουλευσαίμεθα Brunckius tacite. Legebatur βουλευσώμεθα. βουλευσοίμεθα Excerpta Scaligeri.

V. 89. ἄληθες οὕτως Excerpta Scaligeri. — κρουνοχυτρολήραιος Iuntina I. et liber Victorianus. Legebatur κρουνοχυτρολήραιον, quo utuntur Ulpianus ad Demosthen. Olynth. III. p. 38. ed. Wolf. et Suidas t. II. p. 380..

V. 90.—93. Etymolog. M. c. 618, 22..

V. 90. εἰς ἀπόνοιαν Sylburgius ad Etymolog. M. c. 618, 23., assentiente Dukero ad Thucydid. VIII, 88..

V. 91. Suidas v. οἴνου t. II. p. 669., ubi MS. Oxon. πρακτικῶς.

V. 92.—94. Athenaeus t. IV. p. 216., ubi ὁρᾷς δ'; legitur.

V. 93. κρίνουσι δίκας Etymolog. M. l. l..

V. 95. Scholiastes ad Nubes 1240..

V. 96. Scholiastes Venetus ad Iliad. ε. 521., Eustathius ad Ho-

ΝΙΚΙΑΣ.

οἴμοι, τί ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ ποτῷ;

ΔΗΜΟΣΘΕΝΗΣ.

ἀγάθ'· ἀλλ' ἔνεγκ'· ἐγὼ δὲ κατακλινήσομαι.
ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω
βουλευματίων καὶ γνωμιδίων καὶ νοιδίων.

ΝΙΚΙΑΣ.

ὡς εὐτυχῶς, ὅτι οὐκ ἐλήφθην ἔνδοθεν
κλέπτων τὸν οἶνον.

ΔΗΜΟΣΘΕΝΗΣ.

εἰπέ μοι, Παφλαγὼν τί δρᾷ;

ΝΙΚΙΑΣ.

ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος
ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις ὕπτιος.

ΔΗΜΟΣΘΕΝΗΣ.

ἴθι νυν, ἄκρατον ἐγκάναξόν μοι πολύν.

---

merum p. 641, 1. 736, 58. 1077, 58., grammaticus apud Hermannum de em. rat. Gr. gr. p. 446., ubi scriptum est τὸν νοῦν ἐνάρδω. — Codex Ravennas καὶ λέξω τί δεξιόν.

V. 99. 100. Suidas v. νοϊδίων (νοιδίων MS. Oxon.) t. II. p. 638..

V. 100. νοιδίων Suidas l. l. diserte. Scribebatur νοϊδίων. Vid. Lobeck. ad Phrynichum p. 87. 88..

V. 101. ὅτι οὐκ A., C., Ravennas, Brunckius. ὅτ' οὐκ editiones ante Brunckium.

V. 102. εἶπ' ἐμοὶ Brunckius. Quod semel monuisse satis habemus.

V. 103. λείχων Pollux X. 96., Etymolog. M. c. 362, 51. (conf. v. 1069.). Vulgatae scripturae auctores habemus Stephanum Byzant. v. Δῆμος, Suidam v. δημιόπρατα t. I. p. 540. et v. ἐπίπαστα ibid. p. 824., scholiasten infra ad v. 1087..

V. 104. ῥέγχει μεθύων ἐν ταῖς θύραις ὕπτιος Suidas v. ἐπίπαστα t. I. p. 824..

V. 105. Etymolog. M. c. 310, 1. (cf. Bekker. in annotat. ad Etymolog. c. 834.), Suidas v. ἐγκάναξον t. I. p. 668., Zonaras t. I. c. 607..

ΝΙΚΙΑΣ.

σπονδὴν λαβὲ δὴ, καὶ σπεῖσον ἀγαθοῦ δαίμονος·
ἕλχ᾽, ἕλκε τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ δαῖμον ἀγαθὲ, σὸν τὸ βούλευμ᾽, οὐκ ἐμόν.

ΝΙΚΙΑΣ.

εἴπ᾽, ἀντιβολῶ, τί ἔστι;

ΔΗΜΟΣΘΕΝΗΣ.

τοὺς χρησμοὺς ταχὺ
κλέψας ἔνεγκε τοῦ Παφλαγόνος ἔνδοθεν,
ἕως καθεύδει.

ΝΙΚΙΑΣ.

ταῦτ᾽. ἀτὰρ τοῦ δαίμονος
δέδοιχ᾽ ὅπως μὴ τεύξομαι κακοδαίμονος.

ΔΗΜΟΣΘΕΝΗΣ.

φέρε νυν ἐγὼ ᾽μαυτῷ προςαγάγω τὸν χοᾶ,
τὸν νοῦν ἵν᾽ ἄρδω καὶ λέγω τι δεξιόν.

ΝΙΚΙΑΣ.

ὡς μεγάλ᾽ ὁ Παφλαγὼν φέγκεται καὶ πέρδεται,
ὥςτ᾽ ἔλαθον αὐτὸν τὸν ἱερὸν χρησμὸν λαβὼν,
ὅνπερ μάλιστ᾽ ἐφύλαττεν.

V. 111. Editiones ante Brunckium: ταῦτ᾽ ἀτὰρ τοῦ δαίμονος; δέδοιχ᾽ ὅπως κ. τ. ἑ.. Brunckius ταῦτ᾽ ἀτὰρ τοῦ δαίμονος δέδοιχ᾽ ὅπως κ. τ. ἑ.. Ego Bergleri interpunctionem adscivi.

V. 113. φέρε νῦν scholiastes.

V. 115. φέγκεται καὶ πέρδεται A., Brunckius. Legebatur πέρδεται καὶ φέγκεται, quod ex codice Ravennate restituit Invernizius. Brunckii scripturam habuisse videtur scholiastes, cuius haec est annotatio: πέρδεται ὁμοιοκατάληκτον εἶπε τῷ φέγκεται· οὐ γάρ ἐστι δόκιμον οὕτω λέγειν.

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ σοφώτατε,
φέρ' αὐτὸν, ἵν' ἀναγνῶ· σὺ δ' ἔγχεον πιεῖν
ἀνύσας τι. φέρ' ἴδω, τί ἄρ' ἔνεστιν αὐτόθι,
ὦ λόγια. δός μοι, δὸς τὸ ποτήριον ταχύ.

ΝΙΚΙΑΣ.

ἰδού· τί φησιν ὁ χρησμός;

ΔΗΜΟΣΘΕΝΗΣ.

ἑτέραν ἔγχεον.

ΝΙΚΙΑΣ.

ἐν τοῖς λογίοις ἔνεστιν ἑτέραν ἔγχεον;

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ Βάκι.

ΝΙΚΙΑΣ.

τί ἔστι;

ΔΗΜΟΣΘΕΝΗΣ.

δὸς τὸ ποτήριον ταχύ.

ΝΙΚΙΑΣ.

πολλῷ γ' ὁ Βάκις ἐχρῆτο τῷ ποτηρίῳ.

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ μιαρὲ Παφλαγὼν, ταῦτ' ἄρ' ἐφυλάττου πάλαι,
τὸν περὶ σεαυτοῦ χρησμὸν ὀῤῥωδῶν;

ΝΙΚΙΑΣ.

τιή;

V. 119. τί ποτ' ἔνεστιν varia lectio apud scholiasten.

V. 120. Ita codex Ravennas. Legebatur ὦ λόγια. δὸς σύ μοι τὸ ποτήριον ταχύ.

V. 124. διεχρῆτο Athenaeus t. IV. p. 187. Quae fortasse genuina scriptura est. Vid. Brunck. ad Ecclesiaz. 609.

ΔΗΜΟΣΘΕΝΗΣ.

ἐνταῦθ' ἔνεστιν, αὐτὸς ὡς ἀπόλλυται.

ΝΙΚΙΑΣ.

καὶ πῶς;

ΔΗΜΟΣΘΕΝΗΣ.

ὅπως; ὁ χρησμὸς ἄντικρυς λέγει,
ὡς πρῶτα μὲν στυππειοπώλης γίγνεται,
ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα.

ΝΙΚΙΑΣ.

εἷς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.

ΔΗΜΟΣΘΕΝΗΣ.

μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.

ΝΙΚΙΑΣ.

δύο τώδε πώλα. καὶ τί τόνδε χρὴ παθεῖν;

ΔΗΜΟΣΘΕΝΗΣ.

κρατεῖν, ἕως ἕτερος ἀνὴρ βδελυρώτερος
αὐτοῦ γένοιτο· μετὰ δὲ ταῦτ' ἀπόλλυται.
ἐπιγίγνεται γὰρ βυρσοπώλης ὁ Παφλαγὼν,

V. 129. Etymolog. M. c. 731, 55. in additamento Turrisani. — γίνεται edd. ante Brunckium.

V. 131. εἷς θ' οὑτοσὶ codex Ravennas. F. εἷς γ' —.

V. 133. δύω A., Iuntina II., scholiastes. — τόνδε codex Ravennas. Legebatur τοῦτον. — χρῆν Elmsleius ad Euripidis Heraclid. 959..

V. 134. ἕως ἕτερος codex Venetus, Erfurdtius in Horreo Regimontano IV. p. 432., Hermannus Elem. doctr. metr. p. 129., Elmsleius l. l., Reisigius I. p. 64.. Legebatur ἕως ἂν ἕτερος. Iidem recte versu proximo γένοιτο revocarunt a Brunckio solius codicis C. auctoritate in γένηται mutatum.

V. 136. ἐπιγίνεται priorum editionum scripturam ex A. correxit Brunckius. Idem codex, cui accedunt C. et Ravennas, ὁ Παφλαγὼν suppeditavit. Aberat articulus.

ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.

ΝΙΚΙΑΣ.

τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεὼν
ὑπὸ βυρσοπώλου;

ΔΗΜΟΣΘΕΝΗΣ.

νὴ Δί'.

ΝΙΚΙΑΣ.

οἴμοι δείλαιος.
πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος;

ΔΗΜΟΣΘΕΝΗΣ.

ἔτ' ἐστὶν εἷς, ὑπερφυᾶ τέχνην ἔχων.

ΝΙΚΙΑΣ.

εἴπ', ἀντιβολῶ, τίς ἐστιν;

ΔΗΜΟΣΘΕΝΗΣ.

εἴπω;

ΝΙΚΙΑΣ.

νὴ Δία.

ΔΗΜΟΣΘΕΝΗΣ.

ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξολῶν.

ΝΙΚΙΑΣ.

ἀλλαντοπώλης; ὦ Πόσειδον τῆς τέχνης.
φέρε ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν;

V. 137. Plutarchus t. II. p. 804. C., scholiastes ad Vespas 35., Eustathius ad Homerum p. 213, 37..

V. 140. πόθεν ἂν οὖν ἔτι scholiastes.

V. 143. ἀλλ' ἀντὶ πόρων ἔστω τοῦτον ἐξολῶν Suidas v. ἐξολῶν t. I. p. 775.. ἀλλαντοπώλων ἔσθ' ὁ τ. ἐξολῶν Suid. MS. Oxon.. Codex Ravennas ἐξελῶν.

ΔΗΜΟΣΘΕΝΗΣ.

ζητῶμεν αὐτόν.

ΝΙΚΙΑΣ.

ἀλλ' ὁδὶ προςέρχεται
ὥςπερ κατὰ θεῖον εἰς ἀγοράν.

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ μακάριε
ἀλλαντοπῶλα, δεῦρο, δεῦρ' ὦ φίλτατε,
ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί ἔστι; τί με καλεῖτε;

ΔΗΜΟΣΘΕΝΗΣ.

δεῦρ' ἐλθ', ἵνα πύθῃ
ὡς εὐτυχὴς εἶ καὶ μεγάλως εὐδαιμονεῖς.

ΝΙΚΙΑΣ.

ἴθι δὴ κάθελ' αὐτοῦ τοὐλεὸν, καὶ τοῦ θεοῦ
τὸν χρησμὸν ἀναδίδαξον αὐτὸν ὡς ἔχει·
ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.

ΔΗΜΟΣΘΕΝΗΣ.

ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί·
ἔπειτα τὴν γῆν πρόςκυσον καὶ τοὺς θεούς.

V. 146. 147. Suidas v. κατὰ θεῖον t. II. p. 255., ubi MS. Oxon. κατὰ τὸ θεῖον. Codex Ravennas καταθείων.

V. 148. 149. Suidas v. ἀνάβαινε t. I. p. 158.. ἀλλαντοπώλα edd. ante Brunckium et Suidas.

V. 152. εἰ προςκαθέλοι με τοὐλεὸν ex Equitibus Harpocration v. ἐλεοκόπων p. 59.. Vulgatam scripturam habent Eustathius ad Homerum p. 749, 7. 1766, 43. et Zonaras t. I. c. 683..

V. 153. αὐτὸν ἀναδίδαξον A., Brunckius. Vulgatum verborum ordinem ex codice Ravennate restituit Invernizius.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἰδού· τί ἔστιν;

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ μακάρι᾿, ὦ πλούσιε·
ὦ νῦν μὲν οὐδείς, αὔριον δ᾿ ὑπέρμεγας·
ὦ τῶν Ἀθηνῶν ταγὲ τῶν εὐδαιμόνων.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί μ᾿ ὦ ᾿γάθ᾿ οὐ πλύνειν ἐᾷς τὰς κοιλίας
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς;

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ μῶρε, ποίας κοιλίας; δευρὶ βλέπε.
τὰς στίχας ὁρᾷς γε τῶνδε τῶν λαῶν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὁρῶ.

ΔΗΜΟΣΘΕΝΗΣ.

τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει,
καὶ τῆς ἀγορᾶς, καὶ τῶν λιμένων, καὶ τῆς πυκνός.
Βουλὴν πατήσεις, καὶ στρατηγοὺς κλαστάσεις,

V. 157. τί ἔστιν; ex A., B., C. Brunckius. Scribebatur τί ἐστι;.

V. 158. Suidas v. ὦ νῦν μὲν t. II. p. 758.. ὁ χθὲς μὲν Themistius or. XVI. p. 206. B..

V. 159. Ἀθηνῶν Dawesius p. 245. (438. Kidd.), Brunckius. Legebatur Ἀθηναίων, consentiente Suida v. ταγὸς t. III. p. 423..

V. 160. 161. Athenaeus t. I. p. 368..

V. 162. δευρὶ βλέπε A., Brunckius. δεῦρο βλέπε edd. ante Brunckium.

V. 163. τὰς στίχας ὁρᾷς σὺ (vel δὴ) τῶνδε τῶν λαῶν; Elmsleius ad Euripidis Medeam 1334. p. 287. b..

V. 164. ἀρχέλαος A..

V. 165. πυυκὸς *Vet.* in Excerptis Scaligeri, MS. Vat. Pal., A., B., Brunckius. πυκνὸς relicui libri et Suidas v. πνὺξ t. III. p. 156.. Defenderat etiam Rutgersius Var. Lect. V. 1..

V. 166. κλαστήσεις A..

δήσεις, φυλάξεις, ἐν πρυτανείῳ λαικάσεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγώ;

ΔΗΜΟΣΘΕΝΗΣ.

σὺ μέντοι· κοὐδέπω γε πάνθ' ὁρᾷς.
ἀλλ' ἐπανάβηθι κἀπὶ τοὐλεὸν τοδὶ,
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καθορῶ.

ΔΗΜΟΣΘΕΝΗΣ.

τί δαί; τἀμπόρια καὶ τὰς ὁλκάδας;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἔγωγε.

ΔΗΜΟΣΘΕΝΗΣ.

πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλλ' εἰς Καρίαν
τὸν δεξιὸν, τὸν δ' ἕτερον εἰς Καλχηδόνα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

εὐδαιμονήσω δ', εἰ διαστραφήσομαι;

ΔΗΜΟΣΘΕΝΗΣ.

οὔκ· ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
γίγνει γὰρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,

V. 174. Legebatur *Καρχηδόνα*. Palmerius, Kusterus, Brunckius *Χαλκηδόνα* ex coniectura dederunt. Conf. infra v. 1309. . Invernizius ad h. l. „*Alii Καλχηδόνα.*“ Nescio unde hanc scripturam, quae genuina videtur, afferat.

V. 175. *εὐδαιμονήσω δ', εἰ* — codex Ravennas. Legebatur *εὐδαιμονήσω γ', εἰ* —. In Avibus v. 177. idem liber recte *ἀπολαύσομαι τί δ', εἰ διαστραφήσομαι;*, ubi vulgo *ἀπολαύσομαί τι γ', εἰ* —.

V. 177. Codex Ravennas *γίγνει γὰρ οὕτως, ὡς ὁ χρησμὸς λέγει.*

ἀνὴρ μέγιστος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

εἰπέ μοι, καὶ πῶς ἐγὼ
ἀλλαντοπώλης ὢν ἀνὴρ γενήσομαι;

ΔΗΜΟΣΘΕΝΗΣ.

δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας,
ὁτιὴ πονηρὸς κἀξ ἀγορας εἶ καὶ θρασύς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύειν μέγα.

ΔΗΜΟΣΘΕΝΗΣ.

οἴμοι, τί ποτ' ἔσθ', ὅτι σαυτὸν οὐ φῂς ἄξιον;
ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν.
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μὰ τοὺς θεούς,
εἰμ' ἐκ πονηρῶν γ'.

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ μακάριε τῆς τύχης,
ὅσον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα.

V. 179. „ἀνὴρ γενήσομαι *plerique. Sed alii* μέγας γεν..“ Scaligeri Excerpta.

V. 181. Suidas v. ἐξ ἀγορᾶς t. I. p. 759.. — Scribebatur πό-νηρος.

V. 182. ἰσχύσειν edd. ante Brunckium (ἰσχήσειν Aldina, Iuntina I.). ἰσχύσαι B., C., Brunckius. ἰσχύειν codex Ravennas, Suidas v. ἀξιῶ in editione Mediolanensi et MS. Oxon.. Praeterea idem οὐκ ἀξιῶ γ' ἐ. habet.

V. 186. ἀλλ' ἐκ vel εἰ μὴ 'κ Elmsleius ad Acharn. p. 40. ed. Lips.. ἀλλ' ἐκ etiam Porsonus.

V. 187. ὅσον codex Ravennas et ex scholiis Bentleius. Legebatur οἷον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' ὦ 'γάθ' οὐδὲ μουσικὴν ἐπίσταμαι,
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.

ΔΗΜΟΣΘΕΝΗΣ.

τουτὶ μόνον σ' ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς.
ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
ἔτ' ἐστὶν ἀνδρὸς, οὐδὲ χρηστοῦ τοὺς τρόπους,
ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς
ἅ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πῶς δῆτά φησ' ὁ χρησμός;

ΔΗΜΟΣΘΕΝΗΣ.

εὖ νὴ τοὺς θεοὺς
καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος.
'Αλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχείλης
γαμφηλῇσι δράκοντα κοάλεμον αἱματοπώτην,
δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ σκοροδάλμη,
κοιλιοπώλῃσιν δὲ θεὸς μέγα κῦδος ὀπάζει,
αἴ κα μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.

V. 190. *τουτὶ μόνον σ' ἔ.* codex Ravennas. Legebatur *τουτί σε μόνον ἔ.*. — *καὶ* omisit Frobenius, qui error in relicuas ante Brunckium editiones migravit.

V. 191. — 193. Suidas v. *δημαγωγικὸς* t. I. p. 537., ubi *ἡ δημαγωγία δὲ οὐ* legitur.

V. 195. *πῶς δῆτά φησιν ὁ χρησμός;* Brunckius.

V. 196. *σοφῶς* Suidas v. *ᾐνιγμένος* t. II. p. 63., scholiastes, Casaubonus, Toupius Em. in Suid. t. III. p. 87., Brunckius. Libri omnes, etiam Ravennas, *σαφῶς*.

V. 197. Suidas v. *μάρψῃ* t. II. p. 505., ubi MS. Oxon. *βυρσάετος*. *βυρσαίετος* Hesychius t. I. c. 780..

V. 198. *γαμφηλαῖσι* Athenaeus t. IV. p. 187.. — *κοάλεμον αἱματοπότην* Etymolog. M. c. 524, 22..

V. 201. *αἴκα* codex Ravennas. Legebatur *αἴκεν* (*αἴ κεν* Brunckius). Vid. Elmsleium ad Acharn. p. 211. ed. Lips..

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πῶς οὖν πρὸς ἐμὲ ταῦτ' ἐστίν; ἀναδίδασκέ με.

ΔΗΜΟΣΘΕΝΗΣ.

βυρσαίετος μὲν ὁ Παφλαγὼν ἔσθ' οὑτοσί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί δ' ἀγκυλοχείλης ἐστίν;

ΔΗΜΟΣΘΕΝΗΣ.

αὐτό που λέγει,
ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὁ δράκων δὲ πρὸς τί;

ΔΗΜΟΣΘΕΝΗΣ.

τοῦτο περιφανέστατον.
μακρὸν ὁ δράκων γάρ ἐστιν ἀλλᾶς τ' αὖ μακρόν·
εἶθ' αἱματοπώτης ἐστὶν ὅ τ' ἀλλᾶς χὠ δράκων.
τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον
ἤδη κρατήσειν, αἴ κε μὴ θαλφθῇ λόγοις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὰ μὲν λόγι' αἰκάλλει με· θαυμάζω δ' ὅπως
τὸν δῆμον οἷός τ' ἐπιτροπεύειν εἶμ' ἐγώ.

V. 202. MS. Vat. Pal. *ἀλλὰ δίδασκέ με.*

V. 207. *μακρὸν ὁ δράκων γάρ ἐστιν ἀλλᾶς τ' αὖ μακρόν* Reisigius in ephemeridd. Ienensibus a. 1817. fol. 223. c. 599.. Legebatur *ὁ δράκων γάρ ἐστι μακρὸν, ἀλλᾶς τ' αὖ μακρόν.* Dawesius p. 203. (370. ed. Kidd.) et Brunckius: *ὁ δράκων γάρ ἐστι μακρὸν, ὅ τ' ἀλλᾶς αὖ μακρόν.*

V. 211. *τὰ μὲν λόγια καλεῖ με* MS. Vat. Pal., A., B., Brunckius. Eandem scripturam commemorat scholiastes. *λογίακάλεῖ* C.. Codex Ravennas *τὰ μὲν λόγι' αὖ καλεῖ με.*

V. 212. *οἷός τ' ἐπιτροπεύειν εἶμ' ἐγώ* codex Ravennas, quod iure praefert Reisigius I. p. 157.. Legebatur *οἷός τ' εἶμ' ἐπιτροπεύειν ἐγώ.*

ΔΗΜΟΣΘΕΝΗΣ.

φαυλότατον ἔργον· ταῦθ' ἅπερ ποιεῖς ποίει·
τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα
ἅπαντα, καὶ τὸν δῆμον ἀεὶ προςποιοῦ
ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς.
τὰ δ' ἄλλα σοι πρόςεστι δημαγωγικά,
φωνὴ μιαρά, γέγονας κακός, ἀγοραῖος εἶ·
ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ·
χρησμοί τε συμβαίνουσι καὶ τὸ Πυθικόν.
ἀλλὰ στεφανοῦ, καὶ σπένδε τῷ Κοαλέμῳ·
χὤπως ἀμυνεῖ τὸν ἄνδρα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ τίς ξύμμαχος
γενήσεταί μοι; καὶ γὰρ οἵ τε πλούσιοι
δεδίασιν αὐτὸν ὅ τε πένης βδύλλει λεώς.

ΔΗΜΟΣΘΕΝΗΣ.

ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι
μισοῦντες αὐτὸν, οἳ βοηθήσουσί σοι,
καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοὶ,
καὶ τῶν θεατῶν ὅςτις ἐστὶ δεξιὸς,
κἀγὼ μετ' αὐτῶν χὠ θεὸς ξυλλήψεται.
καὶ μὴ δέδιθ'· οὐ γάρ ἐστιν ἐξῃκασμένος.

V. 213. ποεῖς, πόει edd. ante Brunckium.
V. 215. αἰεὶ edd. ante Brunckium.
V. 218. Gregorius Nazianz. epist. LVII.
V. 219. ἔχεις ἅπαντα πρὸς πολιτείαν, ἃ δεῖ A., B., C., Ravennas, Dukerus, Reiskius, Brunckius. ἔχεις ἅπαντα τὰ πρὸς πολιτείαν, ἃ δεῖ edd. ante Portum. ἔχεις τὰ πάντα πρὸς πολιτείαν, ἃ δεῖ codex Vat. Pal., probante Kustero.
V. 220. Suidas v. συμβαίνουσι t. III. p. 395..
V. 224. Suidas v. βδύλλει t. I. p. 426., Zonaras t. I. c. 381..
V. 225. Hesychius v. ἱππῆς t. II. c. 63.. ἱππεῖς Iuntina I..
V. 230. δείδιθ' Suidas v. ἐξεικασμένος t. I. p. 770.. — ἐξῃκασμένος MS. Vat. Pal., A., B., C., Ravennas, Brunckius. Legebatur ἐξεικασμένος.

ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε
τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μὴν
γνωσθήσεται· τὸ γὰρ θέατρον δεξιόν.

ΝΙΚΙΑΣ.

οἴμοι κακοδαίμων, ὁ Παφλαγὼν ἐξέρχεται.

ΚΛΕΩΝ.

οὔ τοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον,
ὁτιὴ 'πὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
οὐκ ἔσθ' ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
ἀπολεῖσθον, ἀποθανεῖσθον ὦ μιαρωτάτω.

ΔΗΜΟΣΘΕΝΗΣ.

οὗτος, τί φεύγεις, οὐ μενεῖς; ὦ γεννάδα
ἀλλαντοπῶλα, μὴ προδῷς τὰ πράγματα.
ἄνδρες ἱππῆς, παραγένεσθε· νῦν ὁ καιρός. ὦ Σίμων,
ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
ἄνδρες ἐγγύς· ἀλλ' ἀμύνου, κἀπαναστρέφου πάλιν.

V. 231. Codex Ravennas οὐδεὶς αὐτὸν.

V. 235. 236. Moschopulus περὶ σχεδῶν p. 31..

V. 236. Legebatur ξυνώμνυτον. Elmsleius ad Acharn. p. 196. ed. Lips. ξυνωμνύτην vel, quod praefert, ξυνόμνυτον reponi iubet. Hoc ego dedi ex Moschopulo. Conf. infra v. 480.. ξυνώμνητον Iuntina I., II..

V. 237. Stephanus Byzant. v. Χαλκίς.

V. 238. οὐκ ἔσθ' ὅπως codex Ravennas. Legebatur οὐκ ἔστιν ὅπως.

V. 239. Codex Ravennas ἀπολεῖσθον ἀπολεῖσθον ὦ.

V. 240. 241. Hos versus in quibusdam libris non lectos esse narrat scholiastes. Priorum editionum interpunctionem: οὗτος, τί φεύγεις; οὐ μενεῖς, ὦ γεννάδα ἀλλαντοπῶλα; correxit Reisigius I. p. 160..

V. 242. παραγένεσθε codex Ravennas, Bentleius, Brunckius, Porsonus. Legebatur παραγίγνεσθε. Aliam personarum notationem commemorat scholiastes: τινὲς τὸ μὲν ἄνδρες ἱππεῖς ἀλλαντοπώλην λέγειν· ἄλλοι δὲ τὸ ἄνδρες ἐγγὺς τὸν θεράποντα.

V. 243. Codex Ravennas ὦ Παιναίτι'. F. καὶ Παναίτι'.

ὁ κονιορτὸς δῆλος αὐτῶν ὡς ὁμοῦ προςκειμένων.
ἀλλ' ἀμύνου, καὶ δίωκε, καὶ τροπὴν αὐτοῦ ποιοῦ.

ΧΟΡΟΣ.

παῖε, παῖε τὸν πανοῦργον, καὶ ταραξιππόστρατον,
καὶ τελώνην, καὶ φάραγγα, καὶ Χάρυβδιν ἁρπαγῆς,
καὶ πανοῦργον, καὶ πανοῦργον· πολλάκις γὰρ αὔτ' ἐρῶ.
καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.
ἀλλὰ παῖε, καὶ δίωκε, καὶ τάραττε, καὶ κύκα,
καὶ βδελύττου, καὶ γὰρ ἡμεῖς, κἀπικείμενος βόα·
εὐλαβοῦ δὲ, μὴ 'κφύγῃ σε· καὶ γὰρ οἶδε τὰς ὁδοὺς,
ἅςπερ Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων.

ΚΛΕΩΝ.

ὦ γέροντες ἡλιασταὶ, φράτορες τριωβόλου,
οὓς ἐγὼ βόσκω κεκραγὼς καὶ δίκαια κἄδικα,
παραβοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.

ΧΟΡΟΣ.

ἐν δίκῃ γ', ἐπεὶ τὰ κοινὰ πρὶν λαχεῖν κατεσθίεις,
κἀποσυκάζεις πιέζων τοὺς ὑπευθύνους σκοπῶν,
ὅςτις αὐτῶν ὠμός ἐστιν, ἢ πέπων, ἢ μὴ πέπων,
κἄν τιν' αὐτῶν γνῷς ἀπράγμον' ὄντα καὶ κεχηνότα,

V. 246. ποοῦ edd. ante Brunckium.

V. 247. παῖε, παῖε τὸν ἀλιτήριον, καὶ πανοῦργον, καὶ τ., καὶ τ., καὶ φάρυγγα, καὶ Χάρυβδιν Suidas v. παίει t. III. p. 68..

V. 252. καὶ γὰρ ἡμᾶς Iohn Seager in the classical Iournal IV. p. 714..

V. 253. 254. Suidas v. εὐλαβοῦ t. I. p. 894. et v. τὰς ὁδοὺς t. III. p. 433.. Altero loco Suidas habet διαφύγῃ σε in ed. Mediol..

V. 254. ὥςπερ Elmsleius ad Acharn. p. 128. ed. Lips.. — ἔφυγεν edd. ante Portum et codex Ravennas. ἔφευγεν Suidas v. εὐλαβοῦ et ἔφευσε in MS. Oxon. v. τὰς ὁδούς.

V. 256. Suidas v. οὓς ἐγὼ t. II. p. 742..

V. 258. Suidas v. πρὶν λαχεῖν t. III. p. 175..

V. 259. 260. Corrupte Suidas v. διασείων t. I. p. 566..

V. 261. Scribebatur κἤν.

καταγαγὼν ἐκ Χεῤῥονήσου διαλαβὼν ἠγκύρισας,
εἶτ' ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολήβασας·
καὶ σκοπεῖς γε, τῶν πολιτῶν ὅςτις ἐστὶν ἀμνοκῶν,
πλούσιος, καὶ μὴ πονηρὸς, καὶ τρέμων τὰ πράγματα.

ΚΛΕΩΝ.

ξυνεπίκεισθ' ὑμεῖς· ἐγὼ δ' ὦ 'νδρες δι' ὑμᾶς τύπτομαι,
ὅτι λέγειν γνώμην ἔμελλον, ὡς δίκαιον ἐν πόλει
ἱστάναι μνημεῖον ὑμῶν ἐστιν ἀνδρίας χάριν.

ΧΟΡΟΣ.

ὡς δ' ἀλαζὼν, ὡς δὲ μάσθλης· εἶδες, οἷ' ὑπέρχεται
χὠςπερεὶ γέροντας ἡμᾶς ἐκκοβαλικεύεται.
ἀλλ' ἐὰν ταύτῃ γε νικᾷ, ταυτηὶ πεπλήξεται·

V. 262. διαλαβὼν Casaubonus, Dukerus, Reiskius, Brunckius. διαβαλὼν libri omnes. διαβαλὼν, ἀγκυρίσας, εἶτ' ἀποστρέψας τὸν ὦμον, αὐτὸν ἐνεκολάβησας Suidas v. ἀγκύρισμα t. I. p. 30.. — ἀγκυρίσας edd. ante Brunckium.

V. 263. ἐνεκολήβασας Bentleius et Brunckius ex Hesychio t. II. c. 300. κοληβάζει· ἐσθίει, καταπίνει. ἐνεκολάβησας edd. ante Brunckium. ἀνεκολάβησας A.. ἐνεκολώβησας C.. ἐνεκολλάβησας ἂν Scaligeri Excerpta. Vide Hesychii interpretes t. I. c. 1228..

V. 264. 265. Suidas v. ἀμνοκῶν t. I. p. 141.. ἀμνήκων Zonaras t. I. c. 143.. Conf. Eustathius ad Homer. p. 962, 19.. Post v. 260. hos versus collocat Brunckius in annotationibus et versione Latina.

V. 265. πόνηρος Brunckius.

V. 266. ἄνδρες codex Ravennas.

V. 268. ἱστάναι Elmsleius ad Euripidis Heraclidas 937.. ἑστᾶναι edd. ante Kusterum. — ἀνδρίας B., C., Brunckius. Scribebatur ἀνδρείας.

V. 269. εἶδέ σοι ὑπέρχεται Suidas v. ὑπέρχεται t. III. p. 548. in libris editis: εἰ δέ σ' οἷ ὑπέρχεται in MS. Oxon..

V. 270. χὠςπερεὶ Bentleii correctio est. Legebatur ὡςπερεί. Brunckius ex Toupii (Em. in Suid. t. II. p. 311.) coniectura edidit κἀκκοβαλικεύεται, verbis ὡςπερεὶ γέροντας ἡμᾶς ad ὑπέρχεται relatis, abs quo in prioribus editionibus recte erant seiuncta. Vulgata totius versus scriptura utitur Suidas l. l. in libris editis: ἐκκολακεύ-

ἢν δ' ὑπεκκλίνῃ γε δευρὶ, πρὸς σκέλος κυρηβάσει.

ΚΛΕΩΝ.

ὦ πόλις καὶ δῆμ', ὑφ' οἵων θηρίων γαστρίζομαι.

ΧΟΡΟΣ.

καὶ κέκραγας, ὥσπερ ἀεὶ τὴν πόλιν καταστρέφεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' ἐγώ σε τῇ βοῇ ταύτῃ γε πρῶτα τρέψομαι.

ΧΟΡΟΣ.

ἀλλ' ἐὰν μέντοι γε νικᾷς τῇ βοῇ, τήνελλος εἶ·
ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

ΚΛΕΩΝ.

τουτονὶ τὸν ἄνδρ' ἐγὼ δείκνυμι, καὶ φήμ' ἐξάγειν
ταῖσι Πελοποννησίων τριήρεσι ζωμεύματα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ναὶ μὰ Δία κἄγωγε τοῦτον, ὅτι κενῇ τῇ κοιλίᾳ

εται MS. Oxon.. Librorum scriptura quodammodo potest defendi, si interrogandi signum post ὑπέρχεται ponatur.

V. 272. ἢν δ' ἐκκλίνῃ γε — πρὸς τὸ σκέλος κ. codex Ravennas. εἰ δ' ἐκκλίνει γε Suidas v. κυρηβάσει t. II. p. 401.. Fuisse memini qui coniiceret ἢν δέ γ' ἐκκλίνῃ τὸ δευρὶ, πρὸς σκέλος κ.. — Eustathius ad Homerum p. 1326, 54..

V. 273. Suidas v. γαστρίζομαι t. I. p. 468., ubi verba καὶ δῆμ' absunt ab editione Mediolanensi.

V. 274. αἰεὶ edd. ante Brunckium.

V. 275. πρῶτα codex Ravennas. Legebatur πρῶτον.

V. 276. ἀλλ' ἐὰν νικήσῃς τῇ βοῇ, τήνελλος εἶ — πυραμοῦς Suidas v. τήνελλα in ed. Mediolanensi: nam Kusterus t. III. p. 462. mori suo indulsit. Quod fugerat Reisigium I. p. 295.. ἀλλ' ἐὰν νικήσῃς ex Suida Ald. et MS. Oxon., τήνελλος εἴης ex solo MS. consignavit Porsonus, cui corrigendum videtur ἀλλ' ἐὰν μὲν τόνδε νικᾷς τῇ βοῇ, τήνελλ' ἔσει.

ἐσδραμὼν ἐς τὸ πρυτανεῖον, εἶτα πάλιν ἐκθεῖ πλέᾳ.

ΔΗΜΟΣΘΕΝΗΣ.

νὴ Δί᾽ ἐξάγων γε τἀπόρρηθ᾽, ἅμ᾽ ἄρτον καὶ κρέας
καὶ τέμαχος, οὗ Περικλέης οὐκ ἠξιώθη πώποτε.

ΚΛΕΩΝ.

ἀποθανεῖσθον αὐτίκα μάλα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τριπλάσιον κεκράξομαί σου.

ΚΛΕΩΝ.

καταβοήσομαι βοῶν σε.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κατακεκράξομαί σε κράζων.

ΚΛΕΩΝ.

διαβαλῶ σ᾽, ἐὰν στρατηγῇς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κυνοκοπήσω σου τὸ νῶτον.

ΚΛΕΩΝ.

περιελῶ σ᾽ ἀλαζονείας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὑποτεμοῦμαι τὰς ὁδούς σου.

V. 282. ἐξάγων γε Porsonus praefat. ad Hecubam p. LI. ed. Lips., Reisigius I. p. 129.. Legebatur ἐξαγαγών γε. Iuntina I. ἐξαγαγών τε. Codex Ravennas ἐξαγαγὼν μὲν — κρέα.

V. 283. Scholiastes ad v. 247..

V. 287. κατακεκράξομαί σε Priscianus t. II. p. 217. ed. Krehl, Bentleius, Brunckius. Legebatur κατακεκράξομαί σου.

V. 289. κυνοκοπήσω τὸν νῶτον Suidas v. κυνοκοπήσω in ed. Mediol. et MS. Oxon.. κυνοκοπῆσαι τὸν νῶτον Phrynichus in Bekkeri Anecdot. I. p. 49..

V. 290. 291. Suidas v. περιελῶ t. III. p. 85..

V. 291. περιτεμοῦμαι Suid. MS. Oxon. l. l., sed mox ὑποτεμοῦμαι, ut et in v. ὑποτεμοῦμαι t. III. p. 562..

ΚΛΕΩΝ.

βλέψον εἴς μ' ἀσκαρδάμυκτος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐν ἀγορᾷ κἀγὼ τέθραμμαι.

ΚΛΕΩΝ.

διαφορήσω σ', εἴ τι γρύξεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κοπροφορήσω σ', εἰ λαλήσεις.

ΚΛΕΩΝ.

ὁμολογῶ κλέπτειν· σὺ δ' οὐχί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

νὴ τὸν Ἑρμῆν τὸν ἀγοραῖον,
κἀπιορκῶ γε βλεπόντων.

ΚΛΕΩΝ.

ἀλλότρια τοίνυν σοφίζει,
καί φανῶ σε τοῖς πρυτάνεσιν,

V. 292. *βλέψον εἴς μ' ἀσκαρδάμυκτος* codex Ravennas, Bentleius ad Horatii Od. I, 3, 18., Brunckius, Elmsleius ad Euripidis Bacch. 804. p. 112.. (*ἔβλεψεν εἴς με* scribe Ran. 562..) *βλέψον εἰς ἔμ' ἀσκαρδάμυκτος* edd. ante Brunckium. *βλέψον μ' ἀσκαρδάμυκτος* A.. *βλέψον εἰς ἐμὲ ἀσκαρδαμυκτί* Etymol. M. c. 716, 13., grammaticus in Bekkeri Anecdotis t. I. p. 452, 13., Suidas v. *ἀσκαρδαμυκτὶ* t. I. p. 351.. *ἀσκαρδάμυκτος* ex Aristophane affert Pollux II, 67..

V. 294. *γρύξεις* B., Iuntina I., Brunckius. *γρύζεις* Aldina, Iuntina II. in textu: in scholiis utraque *γρύξεις*. *γρύξει* Elmsleius ad Acharn. p. 93. ed. Lips..

V. 296. *σὺ δ' οὐχί;* edd. ante Brunckium.

V. 297. 298. Suidas v. *ἀγοραῖος* t. I. p. 34..

V. 298. *κἀπιορκῶ γ' ἐμβλεπόντων* Porsonus ad Acharn. 739..

V. 300.—302. Memoriter haec affert Athenaeus t. I. p. 368. ita scripta: *φήσω σ' ἀδεκατεύτους κοιλίας πωλεῖν.*

V. 300. *καί σε φαίνω* Brunckius scripsit tacite, quum in priori-

ἀδεκατεύτους τῶν θεῶν ἱε-
ρὰς ἔχοντα κοιλίας.

ΧΟΡΟΣ.

ὦ μιαρὲ καὶ βδελυρὲ καὶ κατακε-
κρᾶκτα, τοῦ σοῦ θράσους
πᾶσα μὲν γῆ πλέα,
πᾶσα δ' ἐκκλησία,
καὶ τέλη, καὶ γραφαὶ,
καὶ δικαστήρι', ὦ
βορβοροτάραξι καὶ
τὴν πόλιν ἅπασαν ἡ-
μῶν ἀνατετυρβακὼς,
ὅςτις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν,
κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς πόρους θυννοσκοπῶν.

ΚΛΕΩΝ.

οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' ὅθεν πάλαι καττύεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

εἰ δὲ μὴ σύ γ' οἶσθα κάττυμ', οὐδ' ἐγὼ χορδεύματα,
ὅςτις ὑποτέμνων ἐπώλεις δέρμα μοχθηροῦ βοὸς

---

bus editionibus καί σε φανῶ legeretur. καὶ φανῶ σε correxit etiam Porsonus. φανῶ habuit scholiastes.

V. 301. ἀδεκατεύτους ex hoc loco Suidas t. I. p. 49.. — ἱρὰς Hermannus Elem. doctr. metr. p. 81..

V. 303. κατακεκρᾶκτα Hermannus Elem. doctr. metr. p. 203.. Legebatur κεκράκτα.

V. 304.—307. Moschopulus περὶ σχεδῶν p. 22., ubi πᾶσα γῆ μὲν πλέα legitur.

V. 310. 311. Suidas v. ἀνατετυρβακὼς t. I. p. 184., Zonaras t. I. c. 207..

V. 312. ἀνακεκώφηκας Suidas h. v. t. I. p. 165., Zonaras t. I. c. 199.. Vid. Porson. ad Euripid. Orest. 1279..

V. 316. ὑποτεμὼν Suidas v. μοχθηρία t. II. p. 580..

τοῖς ἀγροίκοισιν πανούργως, ὥςτε φαίνεσθαι παχὺ,
καὶ πρὶν ἡμέραν φορῆσαι, μεῖζον ἦν δυοῖν δοχμαῖν.

ΔΗΜΟΣΘΕΝΗΣ.

κἀμὲ τοῦτ' ἔδρασε ταὐτὸ νὴ Δί', ὥςτε κατάγελων
πάμπολυν τοῖς δημόταισι καὶ φίλοις παρασχεθεῖν.
πρὶν γὰρ εἶναι Περγασῆσιν, ἔνεον ἐν ταῖς ἐμβάσιν.

ΧΟΡΟΣ.

ἆρα δῆτ' οὐκ ἀπ' ἀρ-
χῆς ἐδήλους ἀναί-
δειαν, ἥπερ μόνη
προστατεῖ ῥητόρων;
ἢ σὺ πιστεύων ἀμέλγεις τῶν ξένων τοὺς καρπίμους,
πρῶτος ὤν· ὁ δ' Ἱπποδάμου λείβεται θεώμενος.

V. 317. πανοῦργος scholiastes in edd. Aldina, Iuntina et Basileensi.

V. 318. Etymolog. M. c. 285, 19., Suidas v. δοχμή t. I. p. 622., Zonaras t. I. c. 563., grammaticus in Mingarelli catalogo codd. Nanianor. p. 492.. φορῆσαι Suidas: ceteri φορέσαι.

V. 319. κἀμὲ τοῦτ' ἔδρασε ταὐτὸ, νὴ Δί', ὦ. Porsonus praefat. ad Hecub. p. LI. ed. Lips.. νὴ Δία, κἀμὲ τοῦτ' ἔδρασε ταυτὸν, ὦ. codex Ravennas. καὶ νὴ Δία, κἀμὲ τοῦτ' ἔδρασε ταυτὸν, ὦ. edd. ante Brunckium. κἀμὲ, νὴ Δία, τοῦτ' ἔδρασε ταυτὸν, ὦ. Brunckius ex Kusteri coniectura. κἀμὲ, νὴ Δί', αὐτὸ τοῦτ' ἔδρασεν, ὦ. Elmsleius in the classical Iournal vol. XI. p. 222.. Tum idem corrigi vult ὥςτε καὶ γέλων.

V. 320. τοῖς δημόταισι καὶ φίλοις Kusterus, codex Ravennas. τοῖς δημόταισι καὶ τοῖς φίλοις edd. ante Brunckium. τοῖς δημόταις καὶ τοῖς φίλοις Brunckius. — παρασχεθεῖν Elmsleius l. l.. Scribebatur παρασχέθειν.

V. 321. ἔνεον ἐν ταῖς ἐκβάσεσι grammaticus post Orionem c. 187, 34..

V. 325. Legebatur τῶν ῥητόρων. Articulum abiecerunt Bentleius et Hermannus de Metris p. 190..

V. 326. ἀμέλγει codex Ravennas. ἀμέλγεις Suidas v. ἀμέλγειν t. I. p. 136..

V. 327. Ἱππόδαμος Suidas v. λείβεται t. II. p. 435., scholiastes.

ἀλλ' ἐφάνη γὰρ ἀνὴρ ἕτερος πολὺ
σοῦ μιαρώτερος, ὥςτε με χαίρειν,
ὅς σε παύσει, καὶ πάρεισι, δῆλός ἐστιν αὐτόθεν,
πανουργίᾳ τε καὶ θράσει
καὶ κοβαλικεύμασιν.
ἀλλ' ὦ τραφεὶς ὅθενπέρ εἰσιν ἄνδρες οἵπερ εἰσὶ,
νῦν δεῖξον ὡς οὐδὲν λέγει τὸ σωφρόνως τραφῆναι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μὴν ἀκούσαθ', οἷός ἐστιν οὑτοσὶ πολίτης.

ΚΛΕΩΝ.

οὐκ αὖ μ' ἐάσεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μὰ Δί', ἐπεὶ κἀγὼ πονηρός εἰμι.

ΧΟΡΟΣ.

ἐὰν δὲ μὴ ταύτῃ γ' ὑπείκῃ, λέγ' ὅτι κἀκ πονηρῶν.

ΚΛΕΩΝ.

οὐκ αὖ μ' ἐάσεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μὰ Δία.

ΚΛΕΩΝ.

ναὶ μὰ Δία.

V. 329. ὥστ' ἐμὲ Brunckius.

V. 330. πάρεισι A., C., Ravennas, Brunckius. Legebatur πάρεστι. — Pro αὐτόθεν A. et in margine B. pro varia lectione ἐνταῦθα.

V. 331. Edd. ante Brunckium:

ἐν πανουργίᾳ τε καὶ θράσει καὶ κοβαλικεύμασιν.

Praepositionem omittunt A., C., Brunckius, Bentleius.

V. 333. ὅθεν πάρεισιν Brunckius. ὅθενπέρ εἰσιν edd. ante Brunckium. Codex Ravennas ὅθεν πέρεισιν.

V. 338. Legebatur οὐ μὰ Δία. οὐ eiecerunt Bentleius, Hermannus de Metris p. 153., Reisigius I. p. 106..

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μὰ τὸν Ποσειδῶ.
ἀλλ' αὐτὸ, περὶ τοῦ πρότερος εἰπεῖν, πρῶτα διαμαχοῦμαι.

ΚΛΕΩΝ.

οἴμοι, διαῤῥαγήσομαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μήν σ' ἐγὼ οὐ παρήσω.

ΧΟΡΟΣ.

πάρες, πάρες πρὸς τῶν θεῶν αὐτῷ διαῤῥαγῆναι.

ΚΛΕΩΝ.

τῷ καὶ πεποιθὼς ἀξιοῖς ἐμοῦ λέγειν ἔναντα;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὁτιὴ λέγειν οἷός τε κἀγὼ καὶ καρυκοποιεῖν.

ΚΛΕΩΝ.

ἰδοὺ λέγειν. καλῶς γ' ἂν οὖν τι πρᾶγμα προςπεσόν σοι

V. 339. Legebatur hic versus post v. 336.. Transpositus est auctoritate libri Ravennatis, in quo vitiose scriptum est δὲ μαχοῦμαι σοί.

V. 340. καὶ μήν σ' ἐγὼ οὐ Bentleius, Porsonus, Brunckius. Libri omnes καὶ μὴν ἐγώ σ' οὐ.

V. 341. πάρες, πάρες Iuntina I., MSS. Vat. Pal., A., B., C., Brunckius. Aberat alterum πάρες.

V. 342. ἐμοῦ λέγειν ἐναντία libri omnes. λέγειν ἐναντίον ἐμοῦ Brunckius. λέγειν ἐναντίον μου Burneius in Monthly Review Sept. 1789. p. 253., Hermannus Elem. doctr. metr. p. 146.. ἐμοῦ λέγειν ἔναντα Hotibius p. 62., Meinekius Cur. crit. p. 22.. Similiter in Euripidis Orest. 1485. Pors. ἔναντα in quibusdam libris abiit in ἐναντία.

V. 343. καρυκκοποιεῖν edd. ante Brunckium. καρυκκοποεῖν codex Ravennas. καρυκοποιεῖν A., Iuntina I., Suidas v. καρύκη t. II. p. 248., Brunckius.

V. 344. Codex Ravennas οὖν σοι πρᾶγμα. Fort. σοι πρᾶγμα προςπεσόν τι.

ὠμοσπάρακτον παραλαβὼν μεταχειρίσαιο χρηστῶς.
ἀλλ' οἶσθ' ὅ μοι πεπονθέναι δοκεῖς; ὅπερ τὸ πλῆθος.
εἴ που δικίδιον εἶπας εὖ κατὰ ξένου μετοίκου,
τὴν νύκτα θρυλλῶν, καὶ λαλῶν ἐν ταῖς ὁδοῖς σεαυτῷ,
ὕδωρ τε πίνων, κἀπιδεικνὺς, τοὺς φίλους τ' ἀνιῶν,
ᾤου δυνατὸς εἶναι λέγειν. ὦ μῶρε τῆς ἀνοίας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί δαὶ σὺ πίνων τὴν πόλιν πεποίηκας, ὥςτε νυνὶ
ὑπὸ σοῦ μονωτάτου κατεγλωττισμένην σιωπᾶν;

ΚΛΕΩΝ.

ἐμοὶ γὰρ ἀντέθηκας ἀνθρώπων τίν'; ὅςτις εὐθὺς
θύννεια θερμὰ καταφαγὼν, κᾆτ' ἐπιπιὼν ἄκρατον
οἴνου χοᾶ, κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν
καταβροχθίσας, κᾆτ' ἐπιπιὼν τὸν ζωμὸν ἀναπόνιπτος,

V. 346. ἀλλ' οἶσθ' ὅπερ πέπονθας praefixum est scholiastae annotationi, qui οἶδα legisse videtur. — ὅπερ πεπονθέναι μοι codex Ravennas.

V. 347. Schol. Townl. ad Il. π, 59. apud Porsonum: μετανάστην: ἐν τηῖ μασαλιωτικηῖ καὶ τηῖ ῥιανοῦ μεταναστεῖν· καὶ ἀκούουσι τὴν βρισηΐδα· ἐδόκουν δὲ ἀτιμότεροι εἶναι οἱ μέτοικοι· ὡς διὰ μοχθηρίαν τρόπων τὰς ἰδίας καταλιπόντες κατὰ ξένου μετοίκου ὁ κωμικός.

V. 353. ἀνθρώπων τιν'; Brunckius.

V. 354. 355. Suidas v. θυννεῖα t. II. p. 213..

V. 354. θύννεια Schweighaeuserus ad Athenaeum t. II. p. 314.. Scribebatur θυννεῖα. — ἐπιὼν Suid. MS. Oxon. l. l.. — ἀκράτου codex Ravennas. Vid. Dobraeus ad Plutum 718. p. 90..

V. 356. — 358. Athenaeus t. I. p. 368..

V. 356. Suidas v. ἤνυστρον t. II. p. 64., Zonaras t. I. c. 996.. ἐγω δ' ἤνυστρον Suidas, Zonaras, codex Ravennas. Cum relicuis libris consentit Athenaeus. — Ad ὑείαν in codice Ravennate adscriptum est οἰείαν.

V. 357. Legebatur κᾆτ' ἐκπιὼν. Codex Ravennas κᾆτ' ἐπιπιὼν.

λαρυγγιῶ τοὺς ῥήτορας καὶ Νικίαν ταράξω.

ΧΟΡΟΣ.

τὰ μὲν ἄλλα μ' ἤρεσας λέγων· ἓν δ' οὐ προςίεταί με
τῶν πραγμάτων, ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσεις.

ΚΛΕΩΝ.

ἀλλ' οὐ, λάβρακας καταφαγὼν, Μιλησίους κλονήσεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλὰ σχελίδας ἐδηδοκὼς ὠνήσομαι μέταλλα.

ΚΛΕΩΝ.

ἐγὼ δ' ἐπειςπηδῶν γε τὴν Βουλὴν βίᾳ κυκήσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ κινήσω γέ σου τὸν πρωκτὸν ἀντὶ φύσκης.

ΚΛΕΩΝ.

ἐγὼ δέ γ' ἐξέλξω σε τῆς πυγῆς θύραζε κύβδα.

ἅτ' ἐπεικιὼν Suidas v. ἀναπόνιπτος t. I. p. 177., ubi MS. Oxon. κατ' ἐποποιόν.

V. 358. Plutarchus t. I. p. 525. F..

V. 359. 360. τὰ μὲν ἄλλα μ' ἤρεσε τῶν πραγμάτων, ἓν δ' οὐ προςίεταί με, ὅτι ὡς μόνος τὸν ζωμὸν ἐκροφήσεις Suidas v. προςίεται t. III. p. 199..

V. 360. ἐκροφήσει Elmsleius ad Acharn. p. 93. ed. Lips..

V. 361. Athenaeus t. III. p. 139.. Cleonis esse haec verba vidit Casaubonus, quem secuti sunt Berglerus et Brunckius. Continuabantur choro.

V. 363. ἐπειςπεσὼν MS. Vat. Pal..

V. 364. σοι Brunckius tacite. — φύσκης affert ex h. l. Philemon. Lexic. technol. p. 114. (191. ed. Osann.).

V. 365. ἐγὼ δέ γ' ἐ. Brunckius tacite. Legebatur ἐγὼ δέ τ' ἐ.. — ἐξελῶ σε τῇ πυγῇ edd. ante Brunckium. ἐξελῶ σε τῆς πυγμῆς A.. ἐξελῶ σε τῆς πυγῆς Brunckius. ἐξελῶ σε τῇ πηγῇ θύραζε κύβδα Suidas v. κύβδα t. II. p. 388.. ἐγὼ δ' ἐξελέγξω σε codex Ravennas.

ΧΟΡΟΣ.

νὴ τὸν Ποσειδῶ κἀμὲ γὰρ, τοῦτόν γ' ἐάνπερ ἕλκῃς.

ΚΛΕΩΝ.

οἷόν σε δήσω τῷ ξύλῳ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

διώξομαί σε δειλίας.

ΚΛΕΩΝ.

ἡ βύρσα σοὺ θρανεύσεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

δερῶ σε θύλακον κλοπῆς.

ΚΛΕΩΝ.

διαπατταλευθήσει χαμαί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

περικόμματ' ἐκ σοῦ σκευάσω.

ΚΛΕΩΝ.

τὰς βλεφαρίδας σου παρατιλῶ.

ἐγὼ δέ γ' ἐξέλξω σε τῆς πυγῆς Porson. ad Eurip. Orest. 1234. p. 210. ed. Lips..

V. 366. κἀμὲ γὰρ, τοῦτόν γ' ἐάνπερ ἕλκῃς Reisig. I. p. VII.. κἀμὲ γὰρ, ἤνπερ τοῦτον ἕλκῃς edd. ante Kusterum. κἀμὲ γὰρ, ἤνπερ γε τοῦτον ἕλκῃς Kusterus tacite: quod ex scholiaste ad v. 334. petitum est. κἀμέ γ' ἄρ', ἤνπερ γε τοῦτον ἕλκῃς Brunckius.

V. 367. δήσω 'ν τῷ ξύλῳ Elmsleius ad Acharn. 348. p. 108. ed. Lips..

V. 368. Suidas v. διώξομαι t. I. p. 607..

V. 369. Suidas v. θρανεύσεται t. II. p. 203., Zonaras t. I. c. 1055..

V. 370. Suidas v. δερῶ t. I. p. 527..

V. 372. περικόμματ' ἐκ σοῦ κατασκευάσω Suidas v. περικόμματα t. III. p. 89..

V. 373. παρατιλῶ codex Ravennas. Legebatur περιτιλῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὸν πρηγορεῶνά σοὐκτεμῶ.

ΔΗΜΟΣΘΕΝΗΣ.

καὶ νὴ Δί' ἐμβαλόντες αὐ-
τῷ πάτταλον μαγειρικῶς
εἰς τὸ στόμ', εἶτα δ' ἔνδοθεν
τὴν γλῶτταν ἐξείραντες αὐ-
τοῦ, σκεψόμεσθ' εὖ κἀνδρικῶς
κεχηνότος
τὸν πρωκτὸν, εἰ χαλαζᾷ.

ΧΟΡΟΣ.

ἦν ἄρα πυρός γ' ἕτερα θερμότερα,
καὶ λόγων ἐν πόλει
τῶν ἀναιδῶν ἀναι-
δέστεροι· καὶ τὸ πρᾶγμ'
ἦν ἄρ' οὐ φαῦλον ὧδ'.
. . . .
ἀλλ' ἔπιθι καὶ στρόβει,
μηδὲν ὀλίγον ποίει.
νῦν γὰρ ἔχεται μέσος·

V. 374. σου γε 'κτεμῶ codex Ravennas.

V. 377. εἶτα δ' codex Ravennas. (Conf. infra ad v. 606.) Veterrimae editiones, Aldina, Iuntina I., II. εἶτα γ':. recentiores εἶτά γ'.

V. 379. ἐκκοψόμεθα Suidas v. ἐξείραντες t. I. p. 770..

V. 386. ἦν ἄρ' οὐ codex Ravennas. οὐκ ἦν edd. ante Brunckium. οὐκ ἄρ' ἦν A., B., C., Bentleius, Porsonus, Brunckius. οὐκ ἄρ' ἦν φλαῦρον scholiastae annotationi praefixum in editione Aldina. Lacunae signa post hunc versum posuimus, stropha indicium faciente.

V. 387. ἄπιθι Suidas v. στρόβει t. III. p. 383.: sed ἔπιθι MS. Oxon..

V. 388. μηδὲν ἔλαττον codex Ravennas. Eandem scripturam commemorat scholiastes. — πόει edd. ante Brunckium.

V. 389. Suidas l. l..

ὡς ἐὰν νυνὶ μαλάξῃς αὐτὸν ἐν τῇ προσβολῇ,
δειλὸν εὑρήσεις, ἐγὼ γὰρ τοὺς τρόπους ἐπίσταμαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' ὅμως οὗτος τοιοῦτος ὢν ἅπαντα τὸν βίον,
κᾆτ' ἀνὴρ ἔδοξεν εἶναι, τἀλλότριον ἀμῶν θέρος.
νῦν δὲ τοὺς στάχυς ἐκείνους, οὓς ἐκεῖθεν ἤγαγεν,
ἐν ξύλῳ δήσας ἀφαύει, κἀποδόσθαι βούλεται.

ΚΛΕΩΝ.

οὐ δέδοιχ' ὑμᾶς, ἕως ἂν ζῇ τὸ βουλευτήριον
καὶ τὸ τοῦ δήμου πρόσωπον μακκοᾷ καθήμενον.

ΧΟΡΟΣ.

ὡς δὲ πρὸς πᾶν ἀναι-
δεύεται κοὐ μεθί-
στησι τοῦ χρώματος
τοῦ παρεστηκότος.

ΚΛΕΩΝ.

εἴ σε μὴ μισῶ, γενοίμην ἐν Κρατίνου κῴδιον,

V. 390. ὡς ἐὰν Bentleius, Porsonus, Brunckius. ὡς ἂν editiones ante Brunckium.

V. 393.—395. τοὺς ἀλλοτρίους ἀμῶν στάχυς, τούτους ἐν ξύλῳ δήσας ἀφαύει scholiastes ad Ecclesiaz. 146.. τοὺς ἀλλοτρίους ἀμῶν στάχυας τούτους, ἐν ξύλῳ δήσας ἀφαύει κἀποδόσθαι λέγεται Suidas v. ἀμώμενοι t. I. p. 143.. Conf. idem v. ἀφαυανθήσομαι t. I. p. 391..

V. 398. ὁ δὲ προςαναιδεύεται Suidas v. ἐρύθημα t. I. p. 864.: ὁ δὲ πρὸς πᾶν ἀναιδεύεται idem v. παρεστηκότος t. III. p. 47.. ἀναιδίζεσθαι ex Aristophanis Equitibus affert Antiatticista Bekkeri p. 80, 30., quod ad hunc locum retulit Lobeck. ad Phrynich. p. 758.. Recta horum versuum distinctio debetur codici Ravennati. Vulgo:

ὡς δὲ πρὸς πᾶν ἀναιδεύεται,
κοὐ μεθίστησι τοῦ χρώματος.

V. 401. τοῦ omittit Suid. MS. Oxon. v. παρεστηκότος.

V. 402. ἓν libri omnes. ἐν scholiastes, ut videtur, L. Bosius Animadv. p. 8., Porsonus in Censura p. 575., Elmsleius ad Acharn.

καὶ διδασκοίμην προςᾴδειν Μορσίμου τραγῳδίαν.

ΧΟΡΟΣ.

ὦ περὶ πάντ' ἐπὶ πᾶσί τε πράγμασι
δωροδόκοισιν ἐπ' ἄνθεσιν ἵζων,
εἴθε φαύλως ὥςπερ εὗρες ἐκβάλοις τὴν ἔνθεσιν.
ᾄσαιμι γὰρ τότ' ἂν μόνον·
πῖνε, πῖν' ἐπὶ συμφοραῖς.
τὸν 'Ιουλίου τ' ἂν οἴομαι, γέροντα πυῤῥοπίπην,
ἡσθέντ' ἰηπαιωνίσαι καὶ Βακχέβακχον ᾆσαι.

ΚΛΕΩΝ.

οὔ τοί μ' ὑπερβαλεῖσθ' ἀναιδείᾳ μὰ τὸν Ποσειδῶ,

---

p. 300. ed. Lips., Schaeferus ad Gregorium Cor. p. 46., Coraius ad Plutarchi Vit. t. I. p. 455.. ἂν codex Vat. Pal.. ἥν σε μὴ μισῶ, γενοίμην 'ν Κρατίνου κῴδιον scholiastes Pindari Pyth. 4, 407. p. 368. ed. Boeckh.. εἰ μή σε μισῶ, γενοίμην 'ν Κρατίνου (προβάτου MS. Oxon.) κῴδιον Suidas v. κῴδιον t. II. p. 360..

V. 403. Μορσίμῳ Suidas l. l. in editione Mediolanensi. Vulgata scriptura utitur Suidas v. Μόρσιμος t. II. p. 575., quem locum omittit MS. Oxon..

V. 404.—410. Suidas v. ὦ περὶ πάντα t. II. p. 758..

V. 406. Suidas v. εὗρες t. I. p. 904. et v. φαύλως t. III. p. 586..

V. 408. Est Simonidis versus, quem scholiastes ita scriptum exhibet:

πῖνε, πῖν' ἐν ταῖς συμφοραῖς.

ἐν non debebat in ἐπὶ tacite mutari ab Gaisfordo p. 393., qui scholiastae verbis utitur.

V. 409. οἶμαι γ. πυροπίνην τῆς θέντ' ἰηπασῶν νῆσαι Suid. MS. Oxon. l. l.. παιδοπίπην scholiastes. οἶμαι et πυροπίπην codex Ravennas. πυροπίπην *Vet.* in Scaligeri Excerptis. πυῤῥοπίπην Eustathius ad Homer. p. 679, 39..

V. 410. ἡσθέντα, καὶ παιῶνα δὴ, καὶ βακχέβακχον ᾆσαι edd. ante Brunckium. ἡσθέντ' ἰὴ παιῶν' ᾆσαι καὶ βακχέβακχον ᾆσαι A., C.. ἡσθέντ' ἰὴ παιὼν ᾆσαι margo Victorii. Quam scripturam scholiastes affert. ἡσθέντες ἰὴ παιωνίσαι κ. β. ᾆσαι Suidas l. l.. ἡσθέντ' ἰηπαιωνίσαι codex Ravennas, Brunckius. Scholiastes: τὸ δὲ παιῶνα δὴ γράφεται παιηωνίσαι.

ἢ μή ποτ' ἀγοραίου Διὸς σπλάγχνοισι παραγενοίμην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἔγωγε νὴ τοὺς κονδύλους, οὓς πολλὰ δὴ 'πὶ πολλοῖς
ἠνεσχόμην ἐκ παιδίου, μαχαιρίδων τε πληγάς,
ὑπερβαλεῖσθαί σ' οἴομαι τούτοισιν, ἢ μάτην γ' ἂν
ἀπομαγδαλίας σιτούμενος τοσοῦτος ἐκτραφείην.

ΚΛΕΩΝ.

ἀπομαγδαλίας ὥςπερ κύων; ὦ παμπόνηρε, πῶς οὖν
κυνὸς βορὰν σιτούμενος μάχει σὺ κυνοκεφάλῳ;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ νὴ Δί' ἄλλα γ' ἐστί μου κόβαλα παιδὸς ὄντος.
ἐξηπάτων γὰρ τοὺς μαγείρους ἐπιλέγων τοιαυτί·
σκέψασθε παῖδες· οὐχ ὁρᾶθ'; ὥρα νέα, χελιδών.

V. 413. Codex Ravennas ἐγὼ νὴ τοὺς κονδύλους, οὓς πολλὰ δὴ 'πὶ τοῖς πολλοῖς.

V. 414. ἐκ παιδίου codex Ravennas. Legebatur ἐκ παιδίων. — μαχαιρίδων Pollux X, 104., codex Ravennas, Brunckius in annotationibus, Elmsleius ad Euripidis Heraclidas 919.. Legebatur μαχαιριδίων.

V. 415. 416. Suidas v. ἀπομαγδαλία t. I. p. 286..

V. 416. 417. ἀπομαγδαλίας Suidas l. l., altero loco codex Ravennas (nam v. 416. in eo libro non legitur), Brunckius. ἀπὸ μαγδαλιᾶς edd. ante Brunckium, Eustathius ad Homerum p. 1857, 17. 1887, 51..

V. 418. Thomas Mag. p. 859.. — μάχει σὺ κεφάλῳ A.. μάχει σύ γε κυνοκεφάλῳ Kusterus et Brunckius in annotationibus. Paullo melior, sed non probanda tamen, coniectura Meinekii Cur. Crit. p. 54. κυνοκεφάλῳ μάχει σύ;. Phrynichus in Bekkeri Anecdotis t. I. p. 49. κυνοκέφαλλος: διὰ τῶν δυοῖν λ οἱ 'Αττικοί. Photius Lexic. c. 139. κυνοκέφαλον, ἐν τοῖς δύο λλ λέγουσιν. οὕτως 'Αριστοφάνης.

V. 419. Pro καὶ νὴ Δί' codex Ravennas νὴ τὸν Δί'.

V. 420.—422. Suidas v. νέα χελιδὼν t. II. p. 604..

V. 420. Codex Ravennas λέγων.

οἱ δ' ἔβλεπον, κἀγὼ 'ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.

ΧΟΡΟΣ.

ὦ δεξιώτατον κρέας, σοφῶς γε προὐνοήσω·
ὥςπερ ἀκαλήφας ἐσθίων πρὸ χελιδόνων ἔκλεπτες.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ ταῦτα δρῶν ἐλάνθανόν γ'· εἰ δ' οὖν ἴδοι τις αὐτῶν,
ἀποκρυπτόμενος εἰς τὰς κοχώνας τοὺς θεοὺς ἀπώμνυν·
ὥςτ' εἶπ' ἀνὴρ τῶν ῥητόρων ἰδών με τοῦτο δρῶντα·
οὐκ ἔσθ' ὅπως ὁ παῖς ὅδ' οὐ τὸν δῆμον ἐπιτροπεύσει.

ΧΟΡΟΣ.

εὖ γε ξυνέβαλεν αὔτ'· ἀτὰρ δῆλόν γ' ἀφ' οὗ ξυνέγνω·
ὁτιὴ 'πιώρκεις θ' ἡρπακὼς καὶ κρέας ὁ πρωκτὸς εἶχεν.

ΚΛΕΩΝ.

ἐγώ σε παύσω τοῦ θράσους· οἶμαι δὲ μᾶλλον ἄμφω.
ἔξειμι γάρ σοι λαμπρὸς ἤδη καὶ μέγας καθιεὶς,
ὁμοῦ ταράττων τήν τε γῆν καὶ τὴν θάλατταν εἰκῇ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ συστείλας γε τοὺς ἀλλᾶντας, εἶτ' ἀφήσω

V. 423. ὡς ante σοφῶς lectum deleverunt Bentleius et Porsonus praefat. ad Euripidis Hecub. p. XLV. ed. Lips.. Secus videtur Reisigio I. p. 89..

V. 426. εἰς τὰς κοχώνας MS. Vat. Pal., B., Brunckius. εἰς τὰ κόχωνα edd. ante Brunckium. Quod ex duali numero εἰς τὰ κοχώνα corruptum videri possit. Sed conf. v. 487.. — ἀπώμνυν Bentleius, Brunckius. ἀπώμνυον edd. ante Brunckium.

V. 427. ὡς codex Ravennas.

V. 430. ὁτιὴ 'πιόρκεις edd. ante Brunckium. Correxit etiam Bentleius. — τὸ κρέας codex Ravennas.

V. 432. inutilibus coniecturis tentatur. Recte intellexerunt Toupius Em. in Suid. t. I. p. 280., Reiskius, Lobeckius ad Sophocl. Aiac. p. 258..

V. 433. Scholiastes ad v. 621. 689.

κατὰ κῦμ' ἱμάντον οὔριον, κλάειν σε μακρὰ κελεύσας.

ΔΗΜΟΣΘΕΝΗΣ.

κἄγωγ', ἐάν τι παραχαλᾷ, τὴν ἀντλίαν φυλάξω.

ΚΛΕΩΝ.

οὔ τοι μὰ τὴν Δήμητρα καταπροίξει τάλαντα πολλὰ
κλέψας Ἀθηναίων.

ΧΟΡΟΣ.

ἄθρει, καὶ τοῦ ποδὸς παρίει·
ὡς οὗτος ἤτοι καικίας ἢ συκοφαντίας πνεῖ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

σὲ δ' ἐκ Ποτιδαίας ἔχοντ' εὖ οἶδα δέκα τάλαντα.

ΚΛΕΩΝ.

τί δῆτα; βούλει τῶν ταλάντων ἓν λαβὼν σιωπᾶν;

ΧΟΡΟΣ.

ἁνὴρ ἂν ἡδέως λάβοι. τοὺς τερθρίους παρίει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὸ πνεῦμ' ἔλαττον γίγνεται.

V. 435. Legebatur κλάειν σε μακρὰ κελεύων. Codex Ravennas κλαίειν σε πολλὰ κελεύσας.

V. 437. Allantopolae haec tribuit codex Ravennas: Cleoni reliqui libri et scholiastes ad v. 436..

V. 439. ὡς οὗτος ἤτοι καικίας ἢ συκοφαντίας πνεῖ Porsonus. ὡς οὗτος ἤτοι κακίας ἢ σ. πνεῖ codex Ravennas, Plutarchus t. II. p. 853. B.. ὡς οὗτος ἤδη κακίας καὶ συκοφαντίας πνεῖ edd. ante Brunckium, praeter Kusterum, qui γε post ἤδη adiecit. ὡς οὗτος ἤδη Καικίας καὶ συκοφαντίας πνεῖ Brunckius, praeeunte Kustero in annotationibus. In codice B. superscripta varia lectio καικίας.

V. 440. Cleoni; 441. Allantopolae tribuebatur. Correxit Kusterus.

V. 442. ἀνὴρ edd. ante Brunckium. ὡνὴρ Brunckius. — λάβῃ A.. — τοὺς τερθρίους codex Ravennas, Scaligeri Excerpta. τοὺς τε-

ΚΛΕΩΝ.

. . . . φεύξει γραφὰς
ἑκατονταλάντους τέτταρας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

σὺ δ' ἀστρατείας γ' εἴκοσιν,
κλοπῆς δὲ πλεῖν ἢ χιλίας.

ΚΛΕΩΝ.

ἐκ τῶν ἀλιτηρίων σέ φη-
μι γεγονέναι τῶν τῆς θεοῦ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὸν πάππον εἶναί φημί σου
τῶν δορυφόρων.

ΚΛΕΩΝ.

ποίων; φράσον.

θρίους A., B.. τούς τε θρίους C., Aldina, Iuntina I., II., scholiastes ad v. 407.. τοὺς δὲ θρίους Portus, Kusterus. τοὺς δὴ θρίους Brunckius.

V. 444. 445. Priores editiones trimetrum exhibent:

ΚΛΕΩΝ.

φεύξει γραφὰς ἑκατονταλάντους τέτταρας.

Codex Ravennas:

ΧΟΡΟΣ.

φεύξει γραφὰς
ἑκατονταλάντους τέτταρας.

Quum trimetro in hoc dimetrorum systemate locus non sit, neque monometer aptus videatur, dipodiae defectum appositis lacunae signis indicavimus.

V. 446. — 453. Inepte perturbata est personarum notatio in libro Ravennate, in quo quae in relicuis libris recte sunt Allantopolae, Cleoni, quae Cleonis, Allantopolae tribuuntur.

V. 446. γε particulam omittit codex Ravennas. — εἴκοσι edd. ante Brunckium.

V. 448. 449. Suidas v. ἀλιτήριος t. I. p. 115..

V. 451. δωροφόρων *quidam* in Scaligeri Excerptis.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τῶν βυρσίνης τῆς Ἱππίου.

ΚΛΕΩΝ.

κόβαλος εἶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πανοῦργος εἶ.

ΧΟΡΟΣ.

παῖ' ἀνδρικῶς.

ΚΛΕΩΝ.

ἰοὺ ἰού.
τύπτουσί μ' οἱ ξυνωμόται.

ΧΟΡΟΣ.

παῖ' αὐτὸν ἀνδρικώτατ' αὖ,
γάστριζε καὶ τοῖς ἐντέροις
καὶ τοῖς κόλοις,
χὤπως κολᾷ τὸν ἄνδρα.
ὦ γεννικώτατον κρέας ψυχήν τ' ἄριστε πάντων,
καὶ τῇ πόλει σωτὴρ φανεὶς ἡμῖν τε τοῖς πολίταις,
ὡς εὖ τὸν ἄνδρα ποικίλως θ' ὑπῆλθες ἐν λόγοισιν.
πῶς ἄν σ' ἐπαινέσαιμεν οὕτως ὥςπερ ἡδόμεσθα;

ΚΛΕΩΝ.

ταυτὶ μὰ τὴν Δήμητρά μ' οὐκ ἐλάνθανε
τεκταινόμενα τὰ πράγματ', ἀλλ' ἠπιστάμην

V. 456. ἀνδρικώτατ' αὖ Reisigius I. p. 43.. ἀνδρικώτατα edd. ante Brunckium. ἀνδρικώτατα καὶ Brunckius tacite.

V. 457. γάστριζε καὶ τοῖς ἐντέροις libri omnes, etiam Ravennas. γάστριζε τοῖσιν ἐντέροις Brunckius. γαστρὶ ζῇ καὶ τοῖς ἐντέροις κἂν τοῖς κώλοις Plutarchus t. II. p. 853. B.. κώλοις Iuntina I..

V. 459. κολᾷς Brunckius in annotationibus, refutatus a Porsono in Censura p. 575..

V. 462. λόγοισι Brunckius.

γομφοῦμεν᾽ αὐτὰ πάντα καὶ κολλώμενα.

ΧΟΡΟΣ.

οἴμοι, σὺ δ᾽ οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὔκουν ἐν Ἄργει μ᾽ οἷα πράττει λανθάνει.
πρόφασιν μὲν Ἀργείους φίλους ἡμῖν ποιεῖ·
ἰδίᾳ δ᾽ ἐκεῖ Λακεδαιμονίοις ξυγγίγνεται.
καὶ ταῦτ᾽ ἐφ᾽ οἷσίν ἐστι συμφυσώμενα,
ἐγᾦδ᾽· ἐπὶ γὰρ τοῖς δεδεμένοις χαλκεύεται.

ΧΟΡΟΣ.

εὖ γ᾽, εὖ γε, χάλκευ᾽ ἀντὶ τῶν κολλωμένων.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ ξυγκροτοῦσιν ἄνδρες αὔτ᾽ ἐκεῖθεν αὖ.
καὶ ταῦτά μ᾽ οὔτ᾽ ἀργύριον οὔτε χρυσίον
διδοὺς ἀναπείσεις, οὔτε προςπέμπων φίλους,
ὅπως ἐγὼ ταῦτ᾽ οὐκ Ἀθηναίοις φράσω.

ΚΛΕΩΝ.

ἐγὼ μὲν οὖν αὐτίκα μάλ᾽ εἰς Βουλὴν ἰὼν,
ὑμῶν ἁπάντων τὰς ξυνωμοσίας ἐρῶ,

V. 466. γομφούμενά γε τὰ πάντα edd. omnes praeter Iuntinam I., quae dedit γομφούμενα τὰ πάντα. Codex Ravennas γομφοῦμεν᾽ αὖ τὰ πάντα. Ex quo cuiusvis erat genuinam elicere scripturam γομφοῦμεν᾽ αὐτὰ πάντα.

V. 467. ἁμαξουργοῦ edd. ante Kusterum. Vide, ut his utar, Lexicon περὶ πνευμάτων p. 211. ed. Valckenar., Tzetzam ad Hesiodum p. 237. ed. Gaisford., Schneiderum ad Xenophontis Anabasin p. 44..

V. 468. οὔκουν ἐν Ἄργει μ᾽ οἷα — Porsonus. Legebatur οὐκοῦν μ᾽ ἐν Ἄργει οἷα —. πράττει Bentleius, Reiskius, Brunckius. Libri omnes πράττεις.

V. 474. Codex Ravennas συγκροτοῦσιν.

καὶ τὰς ξυνόδους τὰς νυκτερινὰς ἐν τῇ πόλει,
καὶ πάνθ᾽ ἃ Μήδοις καὶ βασιλεῖ ξυνώμνυτε,
καὶ τἀκ Βοιωτῶν ταῦτα συντυρούμενα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πῶς οὖν ὁ τυρὸς ἐν Βοιωτοῖς ὤνιος;

ΚΛΕΩΝ.

ἐγώ σε νὴ τὸν Ἡρακλέα παραστορῶ.

ΧΟΡΟΣ.

ἄγε δὴ σὺ τίνα νοῦν ἢ τίνα ψυχὴν ἔχεις;
νυνὶ διδάξεις, εἴπερ ἀπεκρύψω ποτὲ
ἐς τὰς κοχώνας τὸ κρέας, ὡς αὐτὸς λέγεις.
θεύσει γὰρ ᾄξας εἰς τὸ βουλευτήριον,
ὡς οὗτος εἰςπεσὼν ἐκεῖσε διαβαλεῖ
ἡμᾶς ἅπαντας, καὶ κραγὸν κεκράξεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ᾽ εἶμι· πρῶτον δ᾽, ὡς ἔχω, τὰς κοιλίας
καὶ τὰς μαχαίρας ἐνθαδὶ καταθήσομαι.

ΧΟΡΟΣ.

ἔχε νυν, ἄλειψον τὸν τράχηλον τουτωί,
ἵν᾽ ἐξολισθαίνειν δύνῃ τὰς διαβολάς.

V. 480. ἐν codex Ravennas. Legebatur ἐπὶ. Conf. v. 870..

V. 481. ξυνώμνυτε A., Bentleius, Brunckius. Legebatur ξυνόμνυτε.

V. 484. Pollux IX, 154..

V. 485. γνώμην ἔχεις codex Ravennas.

V. 486. νυνὶ δὲ δείξεις varia lectio margini codicis C. adscripta, quam recepit Brunckius. Relicui libri omnes, etiam Ravennas, νυνὶ διδάξεις. — τότε Brunckius.

V. 489. ὥςθ᾽ οὗτος Brunckius in annotationibus. — εἰςπεσὼν codex Ravennas. Legebatur ἐμπεσὼν.

V. 490. κεκραγὸν codex Ravennas. Hesychius t. II. c. 336. κραγόν· κραυγήν.

V. 493. τωδεί B..

V. 494. ἐξολισθάνειν Porsonus.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' εὖ λέγεις καὶ παιδοτριβικῶς ταυταγί.

ΧΟΡΟΣ.

ἔχε νυν, ἐπέγκαψον λαβὼν ταδί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί δαί;

ΧΟΡΟΣ.

ἵν' ἄμεινον ὦ τᾶν ἐσκοροδισμένος μάχῃ.
καὶ σπεῦδε ταχέως.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ταῦτα δρῶ.

ΧΟΡΟΣ.

μέμνησό νυν
δάκνειν, διαβάλλειν, τοὺς λόφους κατεσθίειν,
χὤπως τὰ κάλλαι' ἀποφαγὼν ἥξεις πάλιν.
ἀλλ' ἴθι χαίρων, καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμὸν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος· καὶ νικήσας
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ' ἡμῖν πρόσχετε τὸν νοῦν

V. 495. ταῦτά γε edd. ante Brunckium.

V. 496. ἐπέγκαμψον codex Ravennas et *Vet.* in Scaligeri Excerptis.

V. 497. Scholiastes ad Acharn. 165. — ὦ 'τὰν Brunckius.

V. 498. μέμνησο νῦν edd. ante Brunckium.

V. 499. καταβάλλειν A., Brunckius. Idem superscriptum in B.. διαβάλλειν ex codice Ravennate reduxit Invernizius.

V. 500. Suidas v. κάλλαια t. II. p. 229.. οὐχ οὕτως Suid. MS. Oxon. et πάλιν ante ἥξεις.

V. 505. ἥξεις Suidas v. κατάπαστος t. II. p. 261..

V. 506. ἡμῶν Brunckius. — Librorum scripturam προσέχετε correxerunt Bentleius et Dukerus.

τοῖς ἀναπαίστοις
ὦ παντοίας ἤδη Μούσης
πειραθέντες καθ' ἑαυτούς.
εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι,
οὐκ ἂν φαύλως ἔτυχεν τούτου· νῦν δ' ἄξιός ἐσθ' ὁ ποιητής,
ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ, τολμᾷ τε λέγειν τὰ δίκαια,
καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.
ἃ δὲ θαυμάζειν ὑμῶν φησιν πολλοὺς αὐτῷ προσιόντας,
καὶ βασανίζειν, ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτὸν,
ἡμᾶς ὑμῖν ἐκέλευσε φράσαι περὶ τούτου. φησὶ γὰρ ἀνὴρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων·
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν, ὀλίγοις χαρίσασθαι·

V. 507. καὶ τοῖς ἀναπαίστοις Iuntina I..

V. 508. 509. Suidas v. παντοίας t. III. p. 22., ubi MS. Oxon. μνήμας.

V. 510. Mancus in libro Ravennate est versus εἰ μέν τις ἀνὴρ τῶν.

V. 511. ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θ. codex Ravennas, ex Argumento Nubium (p. 13. in Commentariis) Porsonus in Censura p. 571. et praefat. ad Hecubam p. LXII. ed. Lips.. Legebatur ἠνάγκαζεν ἔπη λέξοντάς γ' ἐς τὸ θ.. Corrupte haec profert grammaticus in Commentariis in Nubes p. XXXIV..

V. 512. ἔτυχες Suidas v. φαύλως t. III. p. 586.. ἔτυχε edd. ante Kusterum et Suid. MS. Oxon..

V. 513. Negligenter Brunckius vulgo ὑμῖν legi ait, se autem ex A. et C. reposuisse ἡμῖν. Libri omnes, quod sciam, ἡμῖν.

V. 514. Suidas v. Τυφὼς t. III. p. 521., scholiastes ad Pac. 755.. γενναίως tres principes edd. et *Vet.* in Scaligeri Excerptis. γενναῖος Zanettus, Wechelus, Portus, Kusterus.

V. 516. πῶς Bentleius.

V. 517. ἀνὴρ edd. ante Brunckium. ὡνὴρ Brunckius.

V. 520. Priscianus t. II. p. 242. ed. Krehl., scholiastes Pindari ad Pyth. 2, 75. p. 318. ed. Boeckh.. ἤδη Iuntina I..

ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας,
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας·
τοῦτο μὲν εἰδὼς ἅπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις,
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τρόπαια·
πάσας δ' ὑμῖν φωνὰς ἱεὶς, καὶ ψάλλων, καὶ πτερυγίζων,
καὶ λυδίζων, καὶ ψηνίζων, καὶ βαπτόμενος βατραχείοις,
οὐκ ἐξήρκεσεν· ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης,
ἐξεβλήθη πρεσβύτης ὤν, ὅτι τοῦ σκώπτειν ἀπελείφθη·
εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ ῥεύσας ποτ' ἐπαίνῳ
διὰ τῶν ἀφελῶν πεδίων ἔῤῥει, καὶ τῆς στάσεως παρασύρων
ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους·
ᾆσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν, Δωροῖ συκοπέδιλε,
καὶ, τέκτονες εὐπαλάμων ὕμνων· οὕτως ἤνθησεν ἐκεῖνος.
νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε,
ἐκπιπτουσῶν τῶν ἠλέκτρων, καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος,

V. 521. διαγιγνώσκων A., Brunckius. Scribebatur διαγινώσκων.

V. 524.—528. Suidas v. Μάγνης t. I. p. 478..

V. 525. ἱεὶς add. ante Portum.

V. 529.—538. Suidas v. ἀφέλεια t. I. p. 393..

V. 529. ὃς ἐπὶ πολλῷ ῥ. π. ἐ. Moschopulus περὶ σχεδῶν p. 31.. Propter iterationem eiusdem verbi (ῥεύσας — ἔῤῥει) suspectum hunc locum habet Lobeckius ad Phrynich. p. 739..

V. 530. διὰ τῶν ἀφύων varia lectio in scholiis. — παρασύρας Etymolog. M. c. 176, 19.. παρέσυρεν grammaticus in Bekkeri Anecdotis t. I. p. 470, 1..

V. 532. συμποσίῳ codex Ravennas. συμποσίοις Suidas l. l..

V. 534. νῦν codex Ravennas, Suidas.

V. 535. Criticorum errores in verbis ἐκπιπτουσῶν τῶν ἠλέκτρων referre non est operae pretium. Vid. Buttmanni dissertatio de electro

τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν περιέῤῥει,
ὥςπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψει δ' ἀπολωλώς,
ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ,
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσῳ.
οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελισμούς·
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας·
χοὖτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί.
ταῦτ' ὀῤῥωδῶν διέτριβεν ἀεί, καὶ πρὸς τούτοισιν ἔφασκεν
ἐρέτην χρῆναι πρῶτα γενέσθαι πρὶν πηδαλίοις ἐπιχειρεῖν,

---

in commentationibus Academiae Berolinensis a. 1818. p. 45. sq.. — *καὶ τοῦ τόνου οὐκ ἐόντος* codex Ravennas. *καὶ τούτ' οὐκέτ' ὄντος* Suidae ed. Mediolan..

V. 536. Suidas v. *ἁρμονίαν* t. I. p. 334.. *ἀλλὰ γέρων γὰρ ὤν, παρέῤῥει* Iuntina I..

V. 537. *Κόννας* Brunckius in annotationibus. — *δίψῃ* edd. ante Brunckium, Suidas v. *ἀφέλεια. δίψει* Dukerus, Brunckius. Et ita qui hoc proverbio utuntur, scholiastes, Diogenianus IV, 26., Vat. Append. I, 59., ab Dukero indicati.

V. 538. *χρὴ* codex Ravennas.

V. 539. *τῷ Διονύσου* Elmsleius ad Acharn. p. 272. ed. Lips..

V. 540. 541. Suidas v. *στυφελισμοὺς* t. III. p. 387..

V. 541. *μικρᾶς* et *ἡμᾶς* Suidas l. l. in ed. Mediolanensi.

V. 543. *ποτὲ μὲν — ποτὲ δ'* MS. Vat. Pal..

V. 545. — 547. Suidas v. *πηδαλιουχεῖν* t. III. p. 109.. Gregorium Nazianzenum Or. XX. p. 335. B. et Appianum t. II. p. 131. ed. Schweighaeuser., qui mentem verborum Aristophanis expresserunt, indicavit Kusterus: Gregorium Apologetic. p. 5. B. Gatakerus. Ex Claudiani (de Cons. Fl. Mallii Theodor. v. 42.) imitatione colligit orsonus, post *ἐπιχειρεῖν* olim exstitisse versum cuius sensus fuerit *κἆτα τοιχαρχεῖν*. Claudiani versus hi sunt:

κἆτ' ἐντεῦθεν πρῳρατεῦσαι, καὶ τοὺς ἀνέμους διαθρῆσαι,
κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν οὕνεκα πάντων,
ὅτι σωφρονικῶς κοὐκ ἀνοήτως ἐςπηδήσας ἐφλυάρει,
αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕνδεκα κώπαις
θόρυβον χρηστὸν ληναΐτην,
ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων,
κατὰ νοῦν πράξας,
φαιδρὸς λάμποντι μετώπῳ.

Ἵππι' ἄναξ Πόσειδον, ᾧ
χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἁνδάνει,
καὶ κυανέμβολοι θοαὶ

Ac velut exsertus lentandis navita remis
praeficitur lateri custos; hinc ardua prorae
temperat et fluctus tempestatesque futuras
edocet: assiduo cum Dorida vicerit usu,
iam clavum totamque subit torquere carinam.

V. 545. χρὴ Suidas. — πρῶτον codex Ravennas et Suid. MS. Oxon..

V. 546. κἀντεῦθεν Suidas l. l., Iuntina I..

V. 547. τούτων οὔνεκα (sic) Aldina, Iuntina I., II.. τούτων γοῦν οὕνεκα Kusterus, Brunckius. τούτων οὖν εἵνεκα codex Ravennas.

V. 548. σωφρονικὸς, Brunckius, Porsonus. Librorum scripturam, quam confirmat Suidas t. III. p. 357., habere quo se tueatur, in annotationibus intellexit Brunckius.

V. 549. Eustathius ad Homerum p. 1540, 45., Suidas v. ῥόθιον t. III. p. 263., scholiastes ad v. 504.. ἀποπέμψατ' idem v. ἀποπέμψατε t. I. p. 289.. παραπέμψατ' ἐς ἐφ' Iuntina I..

V. 553. προςώπῳ Brunckius tacite.

V. 554. — 567. et 584. — 597. hemichoriis tribuit Brunckius.

V. 556. ἀνδάνει edd. ante Kusterum et Suidas v. ἀνδάνει in editione Mediolanensi.

μισθοφόροι τριήρεις,
μειρακίων θ᾽ ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασιν,
καὶ βαρυδαιμονούντων.
δεῦρ᾽ ἔλθ᾽ ἐς χορὸν ὦ χρυσοτρίαιν᾽, ὦ
δελφίνων μεδέων, Σουνιάρατε,
ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ᾽, ἐκ
τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστός.
εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι
ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,
οἵτινες πεζαῖς μάχαισιν ἔν τε ναυφράκτῳ στρατῷ
πανταχοῦ νικῶντες ἀεὶ τήνδ᾽ ἐκόσμησαν πόλιν·
οὐ γὰρ οὐδεὶς πώποτ᾽ αὐτῶν τοὺς ἐναντίους ἰδὼν
ἠρίθμησεν· ἀλλ᾽ ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας·
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινί,
τοῦτ᾽ ἀπεψήσαντ᾽ ἄν, εἶτ᾽ ἠρνοῦντο μὴ πεπτωκέναι,
ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ᾽ ἂν εἷς
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ᾽ ἐρόμενος Κλεαίνετον·
νῦν δ᾽ ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία,
οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ᾽ ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδὲν πλὴν τοσουτονὶ μόνον·

V. 560. Suidas v. λαμπρυνομένων t. II. p. 414..

V. 562. εἰς Gaisford. ad Hephaestion. p. 307..

V. 567. παρεστός Scaliger. Scribebatur παρεστώς.

V. 571. ἀεὶ edd. ante Kusterum. αἰεὶ Kusterus, Brunckius.

V. 572. οὐ γὰρ οὐδεὶς πώποτ᾽ αὐτῶν codex Ravennas. Legebatur κοὐδεὶς οὐδεπώποτ᾽ αὐτῶν.

V. 573. Suidas v. ἠρίθμησεν t. II. p. 75., ubi MS. Par. A. ἠρέμησεν. MS. Oxon. ἠρηθμησεν, sed in margine ἠρήμησε.

V. 574. 575. εἰς Suidas v. ἀπεψησάμην t. I. p. 260. et v. ψευδόπτωμα t. III. p. 703..

V. 575. τοῦτ᾽ Suidas ll. ll., codex Ravennas. Legebatur ταῦτ᾽.

V. 581. μόνον MS. Vat. Pal., A., B., C., Ravennas. Legebatur μόνως.

ἤν ποτ' εἰρήνη γένηται, καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ' ἡμῖν κομῶσι, μηδ' ἀπεστλεγγισμένοις.
ὦ πολιοῦχε Παλλὰς, ὦ
τῆς ἱερωτάτης, ἁπα-
σῶν πολέμῳ τε καὶ ποιη-
ταῖς δυνάμει θ' ὑπερφερού-
σης, μεδέουσα χώρας,
δεῦρ' ἀφίκου, λαβοῦσα τὴν
ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργὸν
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα,
τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖςδε πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην εἴπερ ποτὲ καὶ νῦν.
ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ' ἐπαινέσαι.
ἄξιοι δ' εἴσ' εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰςβολάς τε καὶ μάχας.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
ὡς ὅτ' εἰς τὰς ἱππαγωγοὺς εἰςεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα καὶ κρόμμυα·

V. 583. Suidas v. διακεκναισμένη t. I. p. 555.. φθονῆθ' scholiastes ad Nubes 14.. μὴ φθονείτω δ' ἡμῖν μὴ δ' ἀπωστλιγγιαμένοις idem ad Nub. 121. in ed. Aldina. φθονεῖσθ' ἡμῖν κομᾶσιν μηδ' ἀπεστεγγισμένοις codex Ravennas. ἀπεστλεγγισμένοις grammaticus in Bekkeri Anecdotis t. I. p. 423, 1..

V. 585. Aberat comma post ἱερωτάτης. Vid. Elmslei. ad Sophoclis Oedip. Tyr. 380..

V. 586. πολίταις Bentleius.

V. 599. 600. Suidas v. διενέγκαντες t. I. p. 577. et ξυνδιήνεγκαν t. II. p. 651..

V. 600. εἰςβολάς Suidas utrobique. Scribebatur ἐςβολάς. Codex Ravennas εἰςβουλάς.

V. 602. 603. Athenaeus t. IV. p. 291..

V. 603. οἱ δὲ σκόροδα codex Ravennas, Athenaeus.

εἶτα τὰς κώπας λαβόντες ὥςπερ ἡμεῖς οἱ βροτοὶ
ἐμβαλόντες ἀνεβρύαξαν· ἱππαπαὶ, τίς ἐμβαλεῖ;
ληπτέον μᾶλλον. τί δρῶμεν; οὐκ ἐλᾷς ὦ σαμφόρα;
ἐξεπήδων τ' ἐς Κόρινθον· εἶτα δ' οἱ νεώτατοι
ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς, καὶ μετῆσαν στρώματα·
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας Μηδικῆς,
εἴ τις ἐξέρποι θύραζε, κἀκ βυθοῦ θηρώμενοι·
ὥςτ' ἔφη Θέωρος εἰπεῖν καρκίνον Κορίνθιον·
δεινά γ' ὦ Πόσειδον, εἰ μηδ' ἐν βυθῷ δυνήσομαι,
μήτε γῇ μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας.

V. 607. ἐς codex Ravennas. Scribebatur εἰς. — εἶτα δ' οἱ νεώτατοι codex Ravennas. Relicui libri εἶτά γ' οἱ νεώτεροι. Vid. Reisig. I. p. 222. et supra ad v. 377..

V. 608. μετῆσαν A., Ravennas, Bentleius, Brunckius. μετήεσαν edd. ante Brunckium.

V. 609. ποίας MS. Vat. Pal., A., B., C., Brunckius. πόας edd. ante Brunckium.

V. 611. ἔφη Iuntina I., A., Casaubonus, Berglerus, Bentleius, Brunckius. Legebatur ἔφθη.

V. 612. μηδ' Brunckius. Libri omnes μήτ'.

V. 613. μήτε γῇ Bentleius, Porsonus, Brunckius. Libri omnes μήτ' ἐν γῇ.

ΧΟΡΟΣ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ. ΚΛΕΩΝ. ΔΗΜΟΣ.

ΧΟΡΟΣ.

Ὦ φίλτατ' ἀνδρῶν καὶ νεανικώτατε,
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα·
καὶ νῦν ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
ἄγγειλον ἡμῖν, πῶς τὸ πρᾶγμ' ἠγωνίσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί δ' ἄλλο γ' εἰ μὴ νικόβουλος ἐγενόμην;

ΧΟΡΟΣ.

νῦν ἄρ' ἄξιόν γε πᾶσίν ἐστιν ἐπολολύξαι.
ὦ καλὰ λέγων, πολὺ δ' ἀ-
μείνον' ἔτι τῶν λόγων
ἐργασάμεν', εἴθ' ἐπέλ-
θοις ἅπαντά μοι σαφῶς·
ὡς ἐγώ μοι δοκῶ
κἂν μακρὰν ὁδὸν διελθεῖν
ὥστ' ἀκοῦσαι. πρὸς τάδ' ὦ βέλ-
τιστε θαῤῥήσας λέγ', ὡς ἅ-
παντες ἥδόμεσθά σοι.

V. 619. ἄξιον πᾶσιν, omissa particula, codex Ravennas, Iuntina I.. — ὀλολύξαι codex Ravennas.

V. 621. ἀμείνον' Berglerus. Legebatur ἄμεινον.

V. 622. εἰργασμένε edd. ante Brunckium. εἰργασμέν' A., Brunckius. ἐργασάμεν' Bentleius, Hermannus de Metris p. 367..

V. 627. θαῤῥήσας A., Brunckius. Scribebatur θαρσήσας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μὴν ἀκοῦσαί γ' ἄξιον τῶν πραγμάτων.
εὐθὺς γὰρ αὐτοῦ κατόπιν ἐνθένδ' ἵεμην·
ὁ δ' ἄρ' ἔνδον ἐλασίβροντ' ἀναῤῥηγνὺς ἔπη
τερατευόμενος ἤρειδε κατὰ τῶν ἱππέων,
κρημνοὺς ἐρείδων καὶ ξυνωμότας λέγων
πιθανώταθ'· ἡ Βουλὴ δ' ἅπασ' ἀκροωμένη
ἐγένεθ' ὑπ' αὐτοῦ ψευδατραφάξυος πλέα,
κἄβλεψε νᾶπυ, καὶ τὰ μέτωπ' ἀνέσπασεν.
κἄγωγ' ὅτε δὴ 'γνων ἐνδεχομένην τοὺς λόγους,
καὶ τοῖς φενακισμοῖσιν ἐξαπατωμένην·
ἄγε δὴ Μόθωνες καὶ Φένακες, ἦν δ' ἐγώ,
Βερέσχεθοι, Σκίταλοί τε καὶ Κοάλεμοι,

V. 631. Suidas v. ἀναῤῥηγνὺς t. I. p. 178..

V. 632. Suidas v. ἤρειδε t. II. p. 74.. ἤρει δὲ codex Ravennas.

V. 633. κρημνοὺς ἐρείπων Brunckius in annotationibus. Vulgata scriptura utitur Suidas v. κρημνοὺς t. II. p. 373. et ψολοκομπεία t. III. p. 707..

V. 634. πιθανώταθ' ἡ Βουλὴ δ' ἅπασ' A., Bentleius, Brunckius. πιθανώτατα δ' ἡ Βουλή γ' ἅπασ' edd. ante Brunckium. πιθανώτατα δ' ἡ Βουλὴ ἅπασ' C.. πιθανώτατα δ' ἡ Βουλ' ἅπασ' ἂν codex Ravennas. Veram verborum scripturam dedit Brunckius: sed non emendavit vitiosam interpunctionem. Punctum post λέγων vulgo positum delevi. Nam πιθανώτατα ad praecedentia pertinere duobus argumentis potest evinci.

V. 635. ψευδατραφάξυος A., scholiastes in edd. Aldina et Iuntina, Suidas v. ψευδατραφάξυος t. III. p. 702., Eustathius ad Homerum p. 539, 6., Brunckius. Scribebatur ψευδατραφάξιος. MS. Vat. Pal. ψευδατραφύξιος.

V. 636. νάπυ libri omnes tum Aristophanis tum Athenaei t. III. p. 352. et Suidae v. νάπυ t. II. p. 597.. — καὶ μέτωπ' ἀνέσπασε scholiastes. ἀνέσπασεν Suidas. Scribebatur ἀνέσπασε.

V. 638. τοῖς A., C., Bentleius, Elmsleius ad Acharn. p. 71. ed. Lips.. Scribebatur τοῖσι.

V. 639.—643. Suidas v. Σκίταλοι t. III. p. 332. 333..

V. 639. 640. Editiones ante Brunckium:

ἄγε δὴ Σκίταλοι καὶ Φένακες, ἦν δ' ἐγώ,
Βερέσχεθοί τε καὶ Κόβαλοι καὶ Μόθωνες.

ἀγορά τ' ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ,
νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε,
φωνήν τ' ἀναιδῆ. ταῦτα φροντίζοντί μοι
ἐκ δεξιᾶς ἀπέπαρδε καταπύγων ἀνήρ.
κἀγὼ προσέκυσα· κᾆτα τῷ πρωκτῷ θενὼν
τὴν κιγκλίδ' ἐξήραξα, κἀναχανὼν μέγα
ἀνέκραγον· ὦ Βουλή, λόγους ἀγαθοὺς φέρων
εὐαγγελίσασθαι πρῶτον ὑμῖν βούλομαι·
ἐξ οὗ γὰρ ἡμῖν ὁ πόλεμος κατεῤῥάγη,
οὐπώποτ' ἀφύας εἶδον ἀξιωτέρας.
οἱ δ' εὐθέως τὰ πρόςωπα διεγαλήνισαν·
εἶτ' ἐστεφάνουν μ' εὐαγγέλια· κἀγὼ 'φρασα

Alter versus in MS. Vat. Pal. sic scriptus est:

Βερέσχεθοί τε καὶ μόθωνές γε κόβαλοι.

in B.:

β α καὶ
Βερέσχεθοί τε καὶ Μόθωνές τε Κόβαλοι.

Brunckius ex Kusteri coniectura dedit:

Βερέσχεθοί τε, καὶ Κόβαλοι, καὶ Μόθων.

Apud Suidam in editione Mediolanensi scriptum est: *ἄγε δὴ σκίταλοί τε καὶ φένακες ἦν δ' ἐγώ. βερέσχεθοί τε κόβαλοι καὶ μόθωνες.* Pluralem numerum *Μόθωνες* habet idem t. II. p. 570.. *Κοάλεμοι* pro *Κόβαλοι* ex scholiis restituerunt Valckenarius apud Ruhnkenium ad Timaeum p. 160., Koppiers. Observatt. philol. p. 87., Tittmannus ad Zonaram t. II. p. 1227. et, qui hos versus ita emendavit ut nunc leguntur, Reisigius I. p. 305.. *Κοάλεμοι παρ' Ἀριστοφάνει οἱ ἠλέματα κοοῦντες καὶ νοοῦντες.* Suidas v. *Κοάλεμος* t. II. p. 336.. Ceterum in codice Ravennate scriptum est *Σκύταλοι*. *Σκίταλοι* Hesychius t. II. c. 1213..

V. 642. *γλῶτταν* A., Bentleius, Brunckius. Scribebatur *γλῶσσαν*.

V. 645. Scribebatur *θένων*.

V. 646. *ἐξήραξα* Bentleius, Reiskius, Toupius Em. in Suidam t. I. p. 178., Brunckius. *ἐξάραξα* edd. ante Brunckium.

V. 648. *πρῶτος* Phrynichus p. 266. ed. Lobeck..

V. 650. Suidas v. *ἀξιώτερος* t. I. p. 240..

V. 651. Legebatur *τῶν δ' εὐθέως τὰ πρόςωπα διεγαλήνισεν*. Codex Ravennas οἱ δ' εὐθέως. *διεγαλήνισαν* dedi ex MS. Vat. Pal..

αὐτοῖς ἀπόῤῥητον ποιησάμενος ταχὺ,
ἵνα τὰς ἀφύας ὠνοῖντο πολλὰς τοῦ 'βολοῦ,
τῶν δημιουργῶν ξυλλαβεῖν τὰ τρυβλία.
οἱ δ' ἀνεκρότησαν, καὶ πρὸς ἔμ' ἐκεχήνεσαν.
ὁ δ' ὑπονοήσας, ὁ Παφλαγὼν, εἰδώς τ' ἄρα
οἷς ἥδεθ' ἡ Βουλὴ μάλιστα ῥήμασι,
γνώμην ἔλεξεν· ἄνδρες, ἤδη μοι δοκεῖ
ἐπὶ συμφοραῖς ἀγαθαῖσιν εἰςηγγελμέναις
εὐαγγέλια θύειν ἑκατὸν βοῦς τῇ θεῷ.
ἐπένευσεν εἰς ἐκεῖνον ἡ Βουλὴ πάλιν.
κἄγωγ' ὅτε δὴ 'γνων τοῖς βολίτοις ἡττημένος,
διακοσίαισι βουσὶν ὑπερηκόντισα·
τῇ δ' Ἀγροτέρᾳ κατὰ χιλίων παρῄνεσα
εὐχὴν ποιήσασθαι χιμάρων ἐςαύριον,
αἱ τριχίδες εἰ γενοίαθ' ἑκατὸν τοῦ 'βολοῦ.
ἐκαραδόκησεν εἰς ἔμ' ἡ Βουλὴ πάλιν.
ὁ δὲ ταῦτ' ἀκούσας ἐκπλαγεὶς ἐφληνάφα.
κᾆθ' εἷλκον αὐτὸν οἱ πρυτάνεις χοἰ τοξόται.
οἱ δ' ἐθορύβουν περὶ τῶν ἀφυῶν ἑστηκότες·
ὁ δ' ἠντιβόλει γ' αὐτοὺς ὀλίγον μεῖναι χρόνον,
ἵν' ἅτθ' ὁ κῆρυξ οὐκ Λακεδαίμονος λέγει,

V. 653. ἀπόῤῥητον ποιησαμένοις ταχὺ Bentleius.

V. 655. Codex Ravennas συλλαβεῖν.

V. 657. Legebatur εἰδὼς ἄρα. Codex Ravennas εἰδώς τ' ἅμα. F. εἰδώς θ' ἅμα.

V. 658. Invernizii editio ῥήμασιν.

V. 659. Codex Ravennas ἄνδρες, κἀμοὶ δοκεῖ. F. ἄνδρες, ὡς κἀμοὶ δοκεῖ —.

V. 660. Codex Ravennas ἠγγελμέναις.

V. 664. διηκοσίοισι edd. ante Brunckium. διηκοσίῃσι A., Brunckius. διακοσίοισι C..

V. 666. ἐςαύριον Brunckius retulit ad γενοίατο, commate post χιμάρων posito.

V. 667. γένοιντο Athenaeus t. III. p. 209..

V. 669. ἐφληνάφει B..

V. 671. ἀφυῶν Elmsleius ad Acharn. p. 172. ed. Lips.. Scribebatur ἀφύων. — ἑστυκότες Scaligeri Excerpta.

V. 673. ἵν' ἅτθ' ὁ κῆρυξ οὐ'κ Λακεδ. λέγειν πάλιν A.. ἵν' ἅ.

πύθησθ᾽· ἀφῖκται γὰρ περὶ σπονδῶν πάλιν.
οἱ δ᾽ ἐξ ἑνὸς στόματος ἅπαντες ἀνέκραγον·
νυνὶ περὶ σπονδῶν; ἐπειδή γ᾽ ὦ μέλε
ᾔσθοντο τὰς ἀφύας παρ᾽ ἡμῖν ἀξίας;
οὐ δεόμεθα σπονδῶν· ὁ πόλεμος ἑρπέτω.
ἐκεκράγεσάν τε τοὺς πρυτάνεις ἀφιέναι·
εἶθ᾽ ὑπερεπήδων τοὺς δρυφάκτους πανταχῇ.
ἐγὼ δὲ τὰ κορίανν᾽ ἐπριάμην ὑπερδραμὼν
ἅπαντα, τά τε γήτει᾽ ὅσ᾽ ἦν ἐν τἀγορᾷ·
ἔπειτα ταῖς ἀφύαις ἐδίδουν ἡδύσματα
ἀποροῦσιν αὐτοῖς προῖκα, κἀχαριζόμην.
οἱ δ᾽ ὑπερεπῄνουν ὑπερεπύππαζόν τέ με

ὁ κ. ο. Λ. λέγει πάλιν B.. οὐκ Λακεδαίμονος φέρει Brunckius in annotationibus. Melius illorum librorum scriptura uti scivit Porsonus ad Euripid. p. 103., qui proximo versu pro περὶ σπονδῶν λέγων restituit περὶ σπονδῶν πάλιν.

V. 678. ἐῤῥέτω varia lectio apud scholiasten et Suidas v. ἐῤῥέτω t. I. p. 852..

V. 679. ἐνεκράγεσαν Brunckii editio typothetae errore. — ἀπιέναι edd. ante Brunckium.

V. 680. καθύπερθεν ἐπήδων τοὺς δρυφάκτους Zonaras t. I. c. 569.. Legit ille fortasse in libro suo: κᾆθ᾽ ὑπερεπήδων. — πανταχῇ codex Ravennas. Legebatur πανταχοῦ.

V. 681. ὑπερδραμὼν Reisigius I. p. 60.. Codex Ravennas ὑπεκδραμὼν. Relicui libri ὑποδραμὼν.

V. 682. Ravennatis libri scripturam ἅπαντά τε τὰ γήτει᾽ cave ne vulgatae anteponas. — Edd. ante Brunckium τῇ ἀγορᾷ. τῇ ᾽γορᾷ Brunckius.

V. 683. Scholiastes ad Vespas 494..

V. 684. ἀπαιροῦσιν αὐτοῖς codex Ravennas.

V. 685. Scholiastes: ὑπερεπῄνουν. γράφεται καὶ ὑπερεπλήσσοντό με. „ὑπερεπλήσσοντό με alii, non ὑπερεπύππαζόν τε." Scaligeri Excerpta. Codex Ravennas et Suidas t. III. p. 540. ὑπερεπυππάζοντό με. Quod Bentleium movit ut χὑπερεπυππάζοντό με ab Aristophane scriptum coniiceret. Activa verbi forma gravem habet auctorem Phrynichum in Bekkeri Anecdotis I. p. 69., quem credibile est Aristophanis versum in mente habuisse. ὑπερεπύππαζόν τ᾽ ἐμὲ Brunckius.

ἅπαντες οὕτως ὥςτε τὴν Βουλὴν ὅλην
ὀβολοῦ κοριάννοις ἀναλαβὼν ἐλήλυθα.

ΧΟΡΟΣ.

πάντα δὴ πέπραγας οἷα χρὴ τὸν εὐτυχοῦντα·
εὗρε δ' ὁ πανοῦργος ἕτε-
ρον πολὺ πανουργίαις
μείζοσι κεκασμένον,
καὶ δόλοισι ποικίλοις,
ῥήμασίν θ' αἱμύλοις.
ἀλλ' ὅπως ἀγωνιεῖ φρόν-
τιζε τἀπίλοιπ' ἄριστα·
συμμάχους δ' ἡμᾶς ἔχων εὔ-
νους ἐπίστασαι πάλαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μὴν ὁ Παφλαγὼν οὑτοσὶ προςέρχεται,
ὠθῶν κολόκυμα, καὶ ταράττων, καὶ κυκῶν,
ὡς δὴ καταπιόμενός με. μορμὼ τοῦ θράσους.

ΚΛΕΩΝ.

εἰ μή σ' ἀπολέσαιμ', εἴ τι τῶν αὐτῶν ἐμοὶ
ψευδῶν ἐνείη, διαπέσοιμι πανταχῇ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπίαις,

V. 687. Scholiastes ad v. 621..

V. 688. Codex Ravennas ἅπαντα. Reisigius I. p. 284. ἅ. πάντα — ita ut ἅ extra versum sit. — πέπραγας A., B., C., Ravennas, Iuntina I., Bentleius, Brunckius. Scribebatur πέπραχας.

V. 693. ῥήμασιν B., Ravennas, Brunckius. ῥήμασι edd. ante Brunckium. — αἱμυλίοις A., C., B. ab secunda manu, Ravennas, Iuntina I., scholiastes, probante Reisigio I. p. 292..

V. 696. Codex Ravennas συμμάχους δ' ἡμᾶς εὔνους ἐπίστασαι πάλαι.

V. 701. 702. Suidas v. διαπέσοιμι t. I. p. 563. et v. ἐνείη t. I. p. 744..

V. 703. ψολοκομπείαις Suidas v. ψολοκομπεία t. III. p. 707.

ἀπεπυδάρισα μόθωνα, περιεκόκκυσα.

ΚΛΕΩΝ.

οὔ τοι μὰ τὴν Δήμητρ᾽ ἔτ᾽, εἰ μή σ᾽ ἐκφάγω
ἐκ τῆσδε τῆς γῆς, οὐδέποτε βιώσομαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

εἰ μὴ ᾽κφάγῃς; ἐγὼ δέ γ᾽, εἰ μή σ᾽ ἐκπίω,
κᾆτ᾽ ἐκροφήσας αὐτὸς ἐπιδιαῤῥαγῶ.

ΚΛΕΩΝ.

ἀπολῶ σε νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἰδοὺ προεδρίαν· οἷον ὄψομαί σ᾽ ἐγὼ
ἐκ τῆς προεδρίας ἔσχατον θεώμενον.

ΚΛΕΩΝ.

ἐν τῷ ξύλῳ δήσω σε νὴ τὸν οὐρανόν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὡς ὀξύθυμος. φέρε, τί σοι δῶ καταφαγεῖν;
ἐπὶ τῷ φάγοις ἥδιστ᾽ ἄν; ἐπὶ βαλαντίῳ;

V. 704. περιεκόκκισα Suid. MS. Oxon. v. ἀπεπυδάρισεν t. I. p. 254.. Edd. ante Portum interpungunt: ἀπεπυδάρισα, μόθωνα περιεκόκκυσα. Suidas t. III. p. 85. περιεκόκκυσα. κόρδακα ὠρχησάμην. Ἀριστοφάνης. Etymolog. M. c. 696, 5. Ἀριστοφάνης Ἱππεῦσιν, ἀπεπυδάρισα μόθωνα παρὰ τοὺς πόδας. Conf. Eustathius ad Homerum p. 1679, 37..

V. 705. Recepi Reisigii emendationem I. p. 254.. Codex Ravennas: οὔτοι, μὰ τὴν Δήμητρά γ᾽, εἰ μή σ᾽ ἐκφάγω. Relicui libri: οὔτοι, μὰ τὴν Δήμητρ᾽, ἐὰν μή σ᾽ ἐκφάγω.

V. 707. Ita codex Ravennas. Legebatur ἢν μὴ ᾽κφάγῃς; ἐγὼ δέ, σ᾽ ἢν μή γ᾽ ἐκπίω. Quae scriptura Kustero debetur. Nam in prioribus editionibus legitur ἐγὼ δέ σ᾽ ἢν μὴ ᾽κπίω.

V. 708. κᾆτ᾽ ἐκροφήσας Iohn Seager in the classical Iournal vol. IV. p. 715.. Libri omnes κἀπεκροφήσας.

V. 714. βαλαντίῳ A., B., Brunckius. Scribebatur βαλλαντίῳ.

ΚΛΕΩΝ.

ἐξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀπονυχιῶ σου τἀν πρυτανείῳ σιτία.

ΚΛΕΩΝ.

ἕλξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κἀγὼ δέ σ' ἕλξω, καὶ διαβαλῶ πλείονα.

ΚΛΕΩΝ.

ἀλλ' ὦ πονηρὲ σοὶ μὲν οὐδὲν πείθεται·
ἐγὼ δ' ἐκείνου καταγελῶ γ' ὅσον θέλω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὡς σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας.

ΚΛΕΩΝ.

ἐπίσταμαι γὰρ αὐτὸν, οἷς ψωμίζεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κᾆθ' ὥςπερ αἱ τίτθαι γε σιτίζεις κακῶς.
μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντίθης·
αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.

V. 716. Suidas v. ἀπονυχιῶ t. I. p. 288.

V. 718. καὶ διαβαλῶ γε scholiastes.

V. 719. πόνηρε edd. ante Brunckium.

V. 723.—725. Suidas v. τίτθαι t. III. p. 480.

V. 723. κᾆθ' ὥςπερ C., Victorius ad Aristotelis Rhetor. III. 2. p. 587. a Porsono indicatus, Dawesius p. 247. (441. ed. Kidd.), Bentleius, Brunckius. καθώςπερ edd. ante Brunckium. καθάπερ Suidas in editione Mediolanensi, ubi MS. Oxon. καθώςπερ.

V. 724. ἐντίθης A.. ἐντιθεὶς Suid. MS. Oxon. et ed. Mediolanensis. Legebatur ἐντιθεῖς.

V. 725. κατέσπακεν Suidas in editione Mediolanensi.

ΚΛΕΩΝ.

καὶ νὴ Δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς
δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

χὠ πρωκτὸς οὑμὸς τουτογὶ σοφίζεται.

ΚΛΕΩΝ.

οὐκ ὦ 'γάθ' ἐν Βουλῇ με δόξεις καθυβρίσαι.
ἴωμεν ἐς τὸν δῆμον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐδὲν κωλύει.
ἰδού, βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω.

ΚΛΕΩΝ.

ὦ Δῆμε, δεῦρ' ἔξελθε.

V. 726. — 728. Suidas v. πρωκτὸς t. III. p. 217..

V. 727. ποεῖν edd. ante Frobenium. ποιεῖν Suidas in edd.: ποιῆσαι MS. Oxon..

V. 728. Legebatur τουτοΐ. Codex Ravennas τοῦτο τί. Suidas τουτίγε. Recte Bentleius et Elmsleius ad Acharn. p. 54. ed. Lips. τουτογὶ.

V. 730. ἐς codex Ravennas. Scribebatur εἰς.

V. 732. — 737. Legebatur:

ΚΛΕΩΝ.

ὦ Δῆμε, δεῦρ' ἔξελθε, νὴ Δί', ὦ πάτερ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἔξελθε δῆτ', ὦ Δημίδιον φίλτατον.

ΔΗΜΟΣ.

τίνες — — — κατεσπαράξατε.

ΚΛΕΩΝ.

ἔξελθ', ἵν' εἰδῇς οἷάπερ γ' ὑβρίζομαι.

ΔΗΜΟΣ.

τίς ὦ Παφλαγὼν ἀδικεῖ σε;.

Codex Ravennas:

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

νὴ Δί' ὦ πάτερ,
ἔξελθε δῆτ'.

ΚΛΕΩΝ.

ὦ Δημίδιον, ὦ φίλτατον,
ἔξελθ', ἵν' εἰδῇς οἷα περιυβρίζομαι.

ΔΗΜΟΣ.

τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
τίς ὦ Παφλαγὼν ἀδικεῖ σε;

ΚΛΕΩΝ.

διὰ σὲ τύπτομαι
ὑπὸ τουτουὶ καὶ τῶν νεανίσκων.

ΔΗΜΟΣ.

τιή;

ΚΛΕΩΝ.
ὦ Δῆμε, δεῦρ' ἔξελθε, νὴ Δί', ὦ πάτερ.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ.
ἔξελθε δῆτ', ὦ Δημίδιον φίλτατον,
ἔξελθ', ἵν' εἰδῇς οἷάπερ ὑβρίζομαι.
ΔΗΜΟΣ.
τίνες — — — — ἀδικεῖ σε;

Veram personarum distinctionem indicavit Elmsleius ad Acharn. p. 134. ed. Lips., ubi haec ita scripta affert:

ὦ δῆμε δεῦρ' ἔξελθε. νὴ Δί' ὦ πάτερ,
ἔξελθε δῆτ'. ὦ δημίδιον, ὦ φίλτατον,
ἔξελθ', ἵν' εἰδῇς οἷα περιυβρίζομαι.
τίνες οἱ βοῶντες; οὐκ ἄπιτ'; οὐκ ἀπὸ τῆς θύρας;

V. 733. Libri omnes ὦ Δημίδιον φίλτατον. Correxit Reisigius I. p. XXIII.. Brunckius ex coniectura dederat ἔξελθε δῆτα, Δημίδιον ὦ φίλτατον. Ita etiam Porsonus.

V. 734. οἷα περιυβρίζομαι Elmsleius l. l.. Codex Ravennas et Iuntina I. οἷάπερ ὑβρίζομαι. Relicui libri οἷάπερ γ' ὑβρίζομαι.

V. 735. οὐκ ἄπιτ' ἐκ τῆς θύρας codex Ravennas. Conf. ad Pac.

ΚΛΕΩΝ.

ὁτιὴ φιλῶ σ' ὦ Δῆμ' ἐραστής τ' εἰμὶ σός.

ΔΗΜΟΣ.

σὺ δ' εἶ τίς ἐτεόν;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀντεραστὴς τουτουί,
ἐρῶν πάλαι σου, βουλόμενός τέ σ' εὖ ποιεῖν,
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοί.
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γὰρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις·
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προςδέχει,
σαυτὸν δὲ λυχνοπώλαισι καὶ νευροῤῥάφοις
καὶ σκυτοτόμοις καὶ βυρσοπώλαισιν δίδως.

ΚΛΕΩΝ.

εὖ γὰρ ποιῶ τὸν δῆμον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

εἰπέ νυν, τί δρῶν;

ΚΛΕΩΝ.

ὅτι τῶν στρατηγῶν ὑποδραμὼν τοὺς ἐκ Πύλου,

---

v. 1214.. τίνες οἱ βοῶντες; οὐκ ἄπιτ'; οὐκ ἀπὸ τῆς θύρας; Elmsleius ad Acharn. p. 102. ed. Lips..

V. 743. Codex Ravennas οἶτ' ἐσμὲν.

V. 746. λυχνοπώλαισι καὶ νευρορράφαις codex Ravennas. Legebatur λυχνοπώλησι καὶ νευροῤῥάφοις.

V. 747. βυρσοπώλαισιν codex Ravennas. Scribebatur βυρσοπώλησιν.

V. 748. Codex Ravennas εἶπε μοι νῦν. F. εἰπέ μοι.

V. 749. ὅτι τὸν στρατηγὸν ὑπεκδραμὼν τὸν ἐκ Πύλου edd. ante Brunckium. ὅτι τῶν στρατηγῶν ὑπεκδραμὼν τῶν A., C.. ὅτι τὸν στρατηγὸν ὑποδραμὼν τὸν B.. ὅτι τοὺς στρατηγοὺς ὑποδραμὼν τοὺς ἐν Πύλῳ Brunckius. ὅτι τῶν στρατηγῶν ὑποδραμὼν τῶν ἐκ Πύλου codex Ravennas, scholiastes in edd. Aldina et Iuntina. Ex

πλεύσας ἐκεῖσε, τοὺς Λάκωνας ἤγαγον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου
ἕψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην.

ΚΛΕΩΝ.

καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν
ὦ Δῆμ', ἵν' εἰδῇς ὁπότερος νῷν ἐστί σοι
εὐνούστερος, διάκρινον, ἵνα τοῦτον φιλῇς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ναὶ ναὶ διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ πυκνί.

ΔΗΜΟΣ.

οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ·
ἀλλ' ἐς τὸ πρόσθε χρὴ παρεῖν' ἐς τὴν πύκνα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
οἴκοι μὲν ἀνδρῶν ἐστι δεξιώτατος·
ὅταν δ' ἐπὶ ταυτησὶ κάθηται τῆς πέτρας,
κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας.

---

his veram, ut arbitror, scripturam eruit Reisigius I. p. 59., quem secutus sum. Eandem, opinor, indagaverat Bentleius, ex cuius schedis enotatum est ὑποδραμὼν τοὺς ἐκ Πύλου.

V. 755. ἵνα τοῦτον φιλῇς codex Ravennas. Legebatur ἵν' ἐκεῖνον φιλῇς.

V. 756. Legebatur πυνκί. πυκνί Suidas v. πυκνὶ t. III. p. 238.. πυκνῇ codex Ravennas, Suid. MS. Oxon.. Quod vide ne tum hic tum alibi pro πυκνί sit restituendum.

V. 758. Codex Ravennas ἀλλ' ἐς τὸ πρόσθε χρὴ παρεῖν' ἐς τὴν πύκνα. ἀλλ', ὡς τὸ πρόσθε, χρὴ παρεῖναι 'ς τὴν πνύκα Brunckius ex coniectura. ἀλλ' εἰς τὸ πρόσθε χρῆν παρεῖν' εἰς τὴν πνύκα edd. ante Brunckium. πρόσθ' ἐχρῆν scholiastes.

V. 761. Vid. infra ad v. 790..

V. 762. Suidas v. κέχηνεν t. II. p. 305..

ΧΟΡΟΣ.

νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ,
καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους,
ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἀνήρ,
κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζων.
πρὸς ταῦθ' ὅπως ἕξει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα.
ἀλλὰ φυλάττου, καὶ πρὶν ἐκεῖνον προςικέσθαι σου, πρότερον σὺ
τοὺς δελφῖνας μετεωρίζου, καὶ τὴν ἄκατον παραβάλλου.

ΚΛΕΩΝ.

τῇ μὲν δεσποίνῃ Ἀθηναίῃ, τῇ τῆς πόλεως μεδεούσῃ,
εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων γεγένημαι
βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα καὶ Κύνναν καὶ Σαλαβακχώ,
ὥςπερ νυνὶ μηδὲν δράσας δειπνεῖν ἐν τῷ πρυτανείῳ·
εἰ δέ σε μισῶ καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀντιβεβληκώς,

V. 763. — 766. Suidas v. νῦν t. II. p. 640..

V. 764. φονεῖν et λόχους Suidas in ed. Mediolanensi. φρονεῖν in Aldina et recentioribus.

V. 765. ἀνήρ Dawesius p. 252. (442. Kidd.). Scribebatur ἀνήρ.

V. 766. εὐμήχανος πορίζειν Bentleius, Brunckius in annotationibus, comparato Aeschyli Prometh. v. 59.
δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους.

V. 767. ἕξει A., C., scholiastes, Brunckius. ἕξεις B.. ἴσει edd. ante Brunckium.

V. 768. 769. Suidas v. δελφὶς t. I. p. 521..

V. 768. προςικέσθαι σου, πρότερον codex Ravennas, Suidas. Legebatur προςκεῖσθαί σοι, πρότερος.

V. 769. παραβαλοῦ Suidas l. l. et paullo post v. δελφὶν, ubi Kusterus παραβάλλου dedit.

V. 771. τὸν δῆμον τῶν Ἀθηναίων codex Ravennas.

V. 772. Σαλαβακχὼ codex Ravennas, Suidas v. Κύννα t. II. p. 395. et scholiastes ad Pac. 754.. Legebatur Σαλαβάκχαν. κατὰ Κύνναν καὶ Σαλαβάκχην scholiastes ad Vesp. 1027., qui hunc locum in mente habuisse videtur.

ἀπολοίμην καὶ διαπρισθείην κατατμηθείην τε λέπαδνα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κἄγωγ' ὦ Δῆμ' εἰ μή σε φιλῶ καὶ μὴ στέργω, κατατμηθεὶς
ἑψοίμην ἐν περικομματίοις· κεἰ μὴ τούτοισι πέποιθας,
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ,
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς Κεραμεικόν.

ΚΛΕΩΝ.

καὶ πῶς ἂν ἐμοῦ μᾶλλόν σε φιλῶν ὦ Δῆμε γένοιτο πολίτης;
ὃς πρῶτα μὲν, ἡνίκ' ἐβούλευόν σοι, χρήματα πλεῖστ' ἀπέδειξα
ἐν τῷ κοινῷ, τοὺς μὲν στρεβλῶν, τοὺς δ' ἄγχων, τοὺς δὲ μεταιτῶν,
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενὸς, εἰ σοὶ χαριοίμην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τοῦτο μὲν ὦ Δῆμ' οὐδὲν σεμνόν· κἀγὼ γάρ τοῦτό σε δράσω.
ἁρπάζων γὰρ τοὺς ἄρτους σοι τοὺς ἀλλοτρίους παραθήσω.

V. 775. κατατμηθείην codex Ravennas. Legebatur διατμηθείην.

V. 778. Etymolog. Gudian. c. 330, 51. Ἀριστοφάνης ἱππεῦσιν, ἐπὶ ταύτης κατακείεσθέ τε αὐτῷ τὸ μετὰ τυρόν· παραιτητέον δὲ τοὺς γράφοντας κατακνησθείην. Similiter grammaticus MS. Havniensis apud Blochium in annotationibus ad Etymol. M. c. 924. Ἀριστοφάνης Ἱππεῦσιν· ἐπὶ ταύτης κατακνέεται. παραιτητέον δὲ τοὺς γράφοντας κατακνηθείην. Quae utrobique praecedunt consideranti verisimile fiet legisse grammaticum κατακναισθείην, reiecto quod per libros MSS. propagatum est, κατακνησθείην.

V. 779. Codex Ravennas ἐξελκοίμην. Scholiastes εἰς Κεραμεικόν.

V. 783. εἴ σοι Brunckius tacite. — χαριοίμην codex Ravennas. χαριζοίμην edd. ante Brunckium. χαρισοίμην Scaligeri Excerpta, Brunckius.

ὡς δ' οὐχὶ φιλεῖ σ' οὐδ' ἔστ' εὔνους, τοῦτ' αὐτό σε πρῶτα διδάξω,
ἀλλ' ἢ διὰ τοῦτ' αὔθ' ὁτιή σου τῆς ἀνθρακιᾶς ἀπολαύει.
σὲ γάρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι,
καὶ νικήσας ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,
ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως·
οὐχ ὥςπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου,
κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.

ΔΗΜΟΣ.

ἄνθρωπε, τίς εἶ; μῶν ἔκγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνων;
τοῦτό γέ τοί σου τοὔργον ἀληθῶς γενναῖον καὶ φιλόδημον.

V. 788. Libri omnes περὶ τῆς χώρας ἐν Μαραθῶνι. Articulum eiici voluit Kusterus. ἐν deleverunt Bentleius et Brunckius.

V. 790. — 792. Suidas v. Σαλαμῖνος t. III. p. 276..

V. 790. ἐπὶ ταῖσι πέτραις Brunckius. Legebatur ἐπὶ ταῖς πέτραις, quod habent Suidas et codex Ravennas. Bentleius ἐπὶ τῆς πέτρας, comparato v. 761., qui locus obversatus esse videtur scholiastae ad Acharn. 25. ὅτι δὲ ἐκ λίθων (αἱ κάθεδραι), πανταχόθεν δῆλον, ὅταν λέγῃ, ἐπὶ τῆς πέτρας κάθηνται. — σε et οὕτως omittunt Suid. MS. Oxon. et ed. Mediolan..

V. 792. Schaefer. ad Bosii Ellipses p. 423.. — τριβῇς Suidas l. l. et edd. ante Brunckium.

V. 793. ἔγγονος codex Ravennas, scholiastes, ed. Basil. a. 1547., Portus, Kusterus. ἔκγονος ex B., C. revocavit Brunckius.

V. 794. τοῦτό γέ σου τοὔργον ἀληθῶς γενναῖον καὶ φιλόδημον edd. ante Portum, qui σου abiecit, omissum etiam in vetere libro Scaligeri. τοῦτό γε τοὔργον ἀληθῶς ἔστιν (ἐστὶν Brunckius) γενναῖον καὶ φιλόδημον Kusterus, Brunckius. Codex Ravennas τοῦτό γε τοί τ' ἀληθῶς αὖ τοὔργον γενναῖον καὶ φιλόδημον. Reisigius I. p. 150. τοῦτ' αὐτό γέ τοι τοὔργον ἀληθῶς γενναῖον καὶ φιλόδημον. Ego Porsoni emendationem exhibui. τοῦτό γέ τοι scholiastae annotationi est praemissum.

ΚΛΕΩΝ.

ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἶλες.

ΚΛΕΩΝ.

καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων,
ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖς πιθάκναισι
καὶ γυπαρίοις καὶ πυργιδίοις ἔτος ὄγδοον, οὐκ ἐλεαίρεις;
ἀλλὰ καθείρξας αὐτὸν βλίττεις· Ἀρχεπτολέμου δὲ φέροντος
τὴν εἰρήνην ἐξεσκέδασας, τὰς πρεσβείας τ' ἀπελαύνεις
ἐκ τῆς πόλεως ῥαθαπυγίζων, αἳ τὰς σπονδὰς προκαλοῦνται.

V. 795. ὡς ἀπὸ σμικρῶν scholiastes. — γεγένησε liber Ravennas. Non minus vitiosam ex eodem libro scripturam versu proximo enotavit Invernizius, δελεάσμασι σὺν εἷλες.

V. 799. ἐν ταῖς πιθάκναισι A., Bentleius, Dawesius p. 197. (362. Kidd.), Brunckius. ἐν ταῖσι πιθάκναισιν edd. ante Kusterum. ἐν ταῖσι πιθάκναισι C.. ἐν ταῖσι πιθάκναις Kusterus. ἐν ταῖς πιθάκναις scholiastes. καὶ πῶς σὺ φιλεῖς, ὁρῶν οἰκοῦντα τοῦτον ἐν ταῖς πιθάκναισι codex Ravennas. οἰκοῦντα τοῦτον ἐν πιθάκναις (πυδάκναις MS. Oxon.) καὶ γυπαρίοις καὶ πυργιδίοις Suidas v. γυπαρίοις t. I. p. 504.. καὶ πῶς τοῦτον σὺ φιλεῖς, ὃς ὁρῶν οἰκοῦντα μὲν ἐν πιθάκναισι Elmsleius ad Acharn. p. 64. ed. Lips.. Atticam formam φιδάκναισι ex scholiis eruere sibi videbatur Brunckius.

V. 800. ἐλεαίρει Bentleius.

V. 801. Suidas v. βλίττειν t. I. p. 439..

V. 803. ῥοθοπυγίζων Suidas t. III. p. 264.. ῥαθαπυγίζων ha-

ΚΛΕΩΝ.

ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν
ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντώβολον ἡλιάσασθαι,
ἢν ἀναμείνῃ· πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω,
ἐξευρίσκων εὖ καὶ μιαρῶς ὁπόθεν τὸ τριώβολον ἕξει.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐχ ἵνα γ' ἄρξῃ μὰ Δί' Ἀρκαδίας προνοούμενος, ἀλλ' ἵνα μᾶλλον
σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων· ὁ δὲ δῆμος
ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης ἃ πανουργεῖς μὴ καθορᾷ σου,
ἀλλ' ὑπ' ἀνάγκης ἅμα καὶ χρείας καὶ μισθοῦ πρός σε κεχήνῃ.
εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθὼν εἰρηναῖος διατρίψει,

---

bent Hesychius t. II. c. 1096., Eustathius ad Homerum p. 861, 16. et 1818, 57..

V. 804. πάντων ἄρξῃ Invernizii editio.

V. 805. πεντάβολον ἡλιάσασθαι Suidas v. πεντάβολον t. III. p. 75.. πεντώβολον MS. Oxon..

V. 808. ἀλλ' ἵνα μόνον codex Ravennas.

V. 809. ἁρπάζῃς B., Bentleius, Porsonus, Brunckius. ἁρπάσῃς edd. ante Brunckium.

V. 810. καθορᾶται pro καθορᾷ σου Suidas v. ὁμίχλη t. II. p. 690.. καθορᾶται MS. Oxon..

V. 811. πρός σε edd. ante Brunckium.

V. 812. 813. „εἰ διατρίψει — ἀναθαῤῥήσει — ἔλθοι. Sic scriptum oportuit. Soloece vulgo [consentiente libro Ravennate] tria verba in subiunctivo sunt. In A. perspicue ἔλθοι. Scriptum primo fuerat διατρίψῃ, ἀναθαῤῥήσῃ, sed emendatum fuit scriptura ambigua: nescio utram diphthongum voluerit librarius, ει an οι. In C. διατρίψῃ, ἀναθαῤῥήσει, ἔλθῃ.“ BRUNCKIUS.

καὶ χίδρα φαγὼν ἀναθαῤῥήσει, καὶ στεμφύλῳ εἰς λόγον ἔλθοι,
γνώσεται οἵων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου·
εἶθ' ἥξει σοι δριμὺς ἄγροικος, κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
ἃ σὺ γιγνώσκων τόνδ' ἐξαπατᾷς, καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ.

ΚΛΕΩΝ.

οὔκουν δεινὸν ταυτί σε λέγειν δῆτ' ἔστ' ἐμὲ καὶ διαβάλλειν
πρὸς Ἀθηναίους καὶ τὸν δῆμον, πεποιηκότα πλείονα χρηστὰ
νὴ τὴν Δήμητρα Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει. σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις;
ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν εὑρὼν ἐπιχειλῆ·
καὶ πρὸς τούτοις ἀριστώσῃ τὸν Πειραιᾶ προςέμαξεν,

V. 813. στεμφύλῳ codex Ravennas, Kusterus, Brunckius. στεμφύλων edd. ante Brunckium.

V. 814. οἵων ἀγαθῶν τὴν μισθοφορὰν αὐτῶν παρεκόπτου Suidas v. μισθοφορά t. II. p. 566.. αὐτῶν τῇ μισθοφορᾷ MS. Oxon..

V. 815. Edd. ante Portum partim κατὰ σοῦ, partim κατὰ σου. κατά σου Portus, Kusterus, Brunckius.

V. 816. γινώσκων edd. veterrimae. Correctum in Frobeniana. σαυτοῦ Bentleius, Brunckius. σεαυτοῦ edd. ante Brunckium.

V. 817. δεινὰ ταυτὶ codex Ravennas.

V. 820. 821. Suidas v. ἀντιφερίζειν t. I. p. 231..

V. 821. ἐποίησεν B., Suidas v. ἐπιχειλὲς t. I. p. 842., Brunckius. ἐποίησε edd. ante Brunckium. — ἐπιχειλῆ. Pollux II, 89..

V. 822. προςέμιξεν legebatur apud Plutarch. vit. Themistocl. c. 19. p. 121. E.. προςέμαξε Suidas v. προςέμαξε t. III. p. 196..

ὠφελῶν τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκε.
σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι,
διατειχίζων καὶ χρησμῳδιῶν, ὁ Θεμιστοκλεῖ ἀντιφερίζων.
κἀκεῖνος μὲν φεύγει τὴν γῆν· σὺ δ' Ἀχιλλείων ἀπομάττει.

ΚΛΕΩΝ.

οὔκουν ταυτὶ δεινὸν ἀκούειν ὦ Δῆμ' ἐστίν μ' ὑπὸ τούτου,
ὁτιή σε φιλῶ;

ΔΗΜΟΣ.

ὦ παῦ' οὗτος, καὶ μὴ σκέρβολλε πονηρά.
πολλοῦ δὲ πολύν με χρόνον καὶ νῦν ἐλελήθης ἐγκρυφιάζων.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

μιαρώτατος ὦ Δημακίδιον καὶ πλεῖστα πανοῦργα δεδρακώς,
ὁπόταν χασμᾷ, καὶ τοὺς καυλοὺς
τῶν εὐθυνῶν ἐκκαυλίζων
καταβροχθίζει, κἀμφοῖν χειροῖν
μυστιλᾶται τῶν δημοσίων.

V. 826. Suidas v. Ἀχιλλείων t. I. p. 404., Eustathius ad Homerum p. 1445, 59..

V. 827. ταῦτα δεινὸν et ἐστὶν ὑπὸ codex Ravennas.

V. 828. παῦ' οὑτοσί edd. ante Kusterum, codex Ravennas. παῦ' οὑτωσὶ Kusterus. παῦσαί γ' οὗτος Brunckius. παῦ' ὦ οὗτος Bentleius, Porsonus. παῦ παῦ' οὗτος Elmsleius in the classical Iournal vol. XV. p. 218. collato Photio c. 294. παῦ, τὸ παῦσαι λέγουσι μονοσυλλάβως. — σκέρβολε codex Ravennas. σκέρβολλε Suidas t. III. p. 327..

V. 829. ἐλελήθεις edd. ante Brunckium.

V. 833. χειροῖν Bentleius, Porsonus, Brunckius. χεροῖν edd. ante Brunckium, codex Ravennas.

V. 834. μυστιλᾶται A., C., Ravennas, Brunckius in annotationibus. Legebatur μυστιλλᾶται. Vide interpretes ad Plut. v. 627..

ΚΛΕΩΝ.

οὐ χαιρήσεις, ἀλλά σε κλέπτονθ'
αἱρήσω 'γὼ τρεῖς μυριάδας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις,
μιαρώτατος ὢν περὶ τὸν δῆμον
τὸν Ἀθηναίων; καί σ' ἐπιδείξω
νὴ τὴν Δήμητρ', ἢ μὴ ζῴην,
δωροδοκήσαντ' ἐκ Μιτυλήνης
πλεῖν ἢ μνᾶς τετταράκοντα.

ΧΟΡΟΣ.

ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα,
ζηλῶ σε τῆς εὐγλωττίας. εἰ γὰρ ὧδ' ἐποίσεις,
μέγιστος Ἑλλήνων ἔσει, καὶ μόνος καθέξεις
τἀν τῇ πόλει, τῶν ξυμμάχων τ' ἄρξεις ἔχων τρίαιναν,
ᾗ πολλὰ χρήματ' ἐργάσει, σείων τε καὶ ταράττων.
καὶ μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν δέδωκεν·
κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτας.

ΚΛΕΩΝ.

οὐκ ὦ 'γαθοὶ ταῦτ' ἐστί πω ταύτῃ μὰ τὸν Ποσειδῶ.
ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον ὥστε

V. 837. πτερυγίζεις Suidas v. μετεωροκοπεῖς t. II. p. 542.: πλατυγίζῃ καὶ θαλαττοκοπεῖς idem v. πλατυγίζει t. III. p. 127..

V. 838. πρὸς τὸν δῆμον codex Ravennas.

V. 839. τῶν Ἀθηναίων codex Ravennas, ed. Basil. a. 1532. et relicuae edd. ante Brunckium.

V. 841. 842. Suidas v. δωροδοκεῖν t. I. p. 624., ubi μνᾶς ἓξ scriptum est.

V. 843. ἀνθρώποισι A., Brunckius.

V. 844. Suidas v. ζηλῶ t. II. p. 7..

V. 846. συμμάχων codex Ravennas.

V. 848. δέδωκε Brunckius.

V. 850. ταῦτ' ἐστί πω ταυτὶ codex Ravennas.

V. 851. — 853. Suidas v. ἐμοὶ δὲ τοιοῦτον t. I. p. 730..

ἀπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν,
ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐπίσχες ἐν ταῖς ἀσπίσιν· λαβὴν γὰρ ἐνδίδωκας.
οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας
ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
ἀλλ' ἐστὶ τοῦτ' ὦ Δῆμε μηχάνημ', ἵν', ἢν σὺ βούλῃ
τὸν ἄνδρα κολάσαι τουτονὶ, σοὶ τοῦτο μὴ 'κγένηται.
ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι
καὶ τυροπῶλαι· τοῦτο δ' εἰς ἓν ἐστι συγκεκυφός.
ὥςτ' εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίνδα,
νύκτωρ κατασπάσαντες ἂν τὰς ἀσπίδας θέοντες
τὰς εἰςβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.

ΔΗΜΟΣ.

οἴμοι τάλας· ἔχουσι γὰρ πόρπακας; ὦ πονηρὲ,
ὅσον με παρεκόπτου χρόνον τοιαῦτα κρουσιδημῶν.

ΚΛΕΩΝ.

ὦ δαιμόνιε, μὴ τοῦ λέγοντος ἴσθι, μηδ' οἰηθῇς

V. 851. γὰρ ἐστ' Brunckius. — ἐργασμένον codex Ravennas.

V. 857. Suidas v. μηχάνημα t. II. p. 557.. — ἀλλ' ἐστὶ τοῦτο μηχάνημ' ὦ Δῆμ', ἵν', ἢν σὺ βούλῃ Reisigius I. p. 120.. — ἦν σὺ Invernizii editio.

V. 858. μὴ 'κγένηται A., B., C., edd. ante Invernizium, qui μὴ 'γγένηται dedit, ex codice Ravennate ut videtur.

V. 859.—861. Suidas v. συγκεκυφὸς t. III. p. 389..

V. 862.—864. Suidas v. βριμήσαιο t. I. p. 456..

V. 862. ὀστρακίνδα. Etymolog. M. c. 402, 39., Philemon. Lexic. technol. p. 50. (p. 88. ed. Osann.).

V. 863. κατασπάσαντες Suidas l. l., codex Ravennas. Legebatur καθαρπάσαντες.

V. 865. πόνηρε edd. ante Brunckium.

V. 867. μὴ τοῦ λέγοντος ἴσθι Suidas in ed. Mediolanensi. Nam Kusterus t. II. p. 556. omisit haec verba.

ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον'· ὅστις εἷς ὢν
ἔπαυσα τοὺς ξυνωμότας· καί μ' οὐ λέληθεν οὐδὲν
ἐν τῇ πόλει ξυνιστάμενον· ἀλλ' εὐθέως κέκραγα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας.
ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν·
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν,
αἱροῦσι. καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
ἓν δ' εἰπέ μοι τοσουτονί· σκύτη τοσαῦτα πωλῶν,
ἔδωκας ἤδη τουτῳὶ κάττυμα παρὰ σεαυτοῦ
ταῖς ἐμβάσιν, φάσκων φιλεῖν;

ΔΗΜΟΣ.

οὐ δῆτα μὰ τὸν Ἀπόλλω.

V. 868. εὑρεῖν Iuntina I..

V. 869. ξυνωμότας A., Brunckius. συνωμότας edd. ante Brunckium.

V. 870. συνιστάμενον edd. ante Brunckium. ξυνιστάμενον scholiastes, Brunckius.

V. 871. — 874. Athenaeus t. III. p. 93., Etymol. M. c. 312, 50..

V. 871. ὥσπερ pro ὅπερ Athenaeus t. III. p. 92. (sed ὅπερ p. 93.), Eustathius ad Homerum p. 1240, 2., Zonaras t. I. c. 601., grammaticus in Mingarelli catalogo codd. Nanianor. p. 492., Lex. Gr. post Hermanni librum de em. rat. Gr. gr. p. 321.. ὅπερ — πεπόνθασι scholiastes ad Nubes 555.. πεπόνθασ' Etymol. M. l. l..

V. 874. αἱροῦσι Athenaeus, Etymol. M., A., Kusterus, Wyttenbachius ad Plutarch. de sera num. vind. p. 8., Brunckius. αἵρουσι edd. ante Brunckium, praeter Iuntinam I. et Brubachianam, quae αἰροῦσι habent. Idem annotatum in Excerptis Scaligeri.

V. 876. ἔδωκας ἤδη τουτῳΐγε κάττυμα edd. ante Brunckium, praeter Iuntinam I., quae ἔδωκας ἤδη τοῦτο κάττυμα. Eadem est scriptura codicis A.. τούτων κάττυμα C., deleta ab eadem manu littera ν. τῳδεΐγε κάττυμα B.. Codex Ravennas κάττυμα τούτῳ. Recte Bentleius et Brunckius τουτῳῒ κάττυμα.

V. 877. ταῖς ἐμβάσιν B., Brunckius. ταῖς ἐμβάσι edd. ante Brunckium.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἔγνωκας οὖν δῆτ' αὐτὸν οἷός ἐστιν; ἀλλ' ἐγώ σοι
ζεῦγος πριάμενος ἐμβάδων τουτὶ φορεῖν δίδωμι.

ΔΗΜΟΣ.

κρίνω σ' ὅσων γ' ἐγᾦδα περὶ τὸν δῆμον ἄνδρ' ἄριστον,
εὐνούστατόν τε τῇ πόλει, καὶ τοῖσι δακτύλοισιν.

ΚΛΕΩΝ.

οὐ δεινὸν οὖν δῆτ' ἐμβάδας τοσουτονὶ δύνασθαι,
ἐμοῦ δὲ μὴ μνείαν ἔχειν ὅσων πέπονθας; ὅςτις
ἔπαυσα τοὺς βινουμένους, τὸν Γρύττον ἐξαλείψας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὔκουν σε δῆτα ταῦτα δεινόν ἐστι πρωκτοτηρεῖν,
παῦσαί τε τοὺς βινουμένους; κοὐκ ἔσθ' ὅπως ἐκείνους
οὐχὶ φθονῶν ἔπαυσας, ἵνα μὴ ῥήτορες γένοιντο.
τονδὶ δ' ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικοῦτον,

V. 880. Legebatur κρίνω σ', ὅσον γ' ἐγᾦδα, περὶ τὸν δῆμον ὄντ' ἄριστον. Codex Ravennas κρίνω σ', ὅσον γ' ἐγᾦδα, περὶ τὸν δῆμον ἄνδρ' ἄριστον. ὅσων γ' ἐγᾦδα Bentleius et Dobraeus.

V. 881. γὰρ pro καὶ ed. Aldina.

V. 883. In edd. ante Brunckium oratio post πέπονθας commatis, post ἐξαλείψας interrogandi signo distinguitur.

V. 884. βινουμένους A., a prima manu C., Suidas v. βινεῖν t. I. p. 433. et v. Γρύττος t. I. p. 499.. κινουμένους edd. ante Brunckium. — Γρῖπον Suidas v. βινεῖν: Γρύκον v. Γρύττος.

V. 885. δῆτα abest a codice Ravennate et Iuntina I..

V. 886. βινουμένους C. a prima manu, Brunckius. κινουμένους edd. ante Brunckium.

V. 887. γένοιντο codex Ravennas. Legebatur γένωνται.

V. 888. τονδὶ δ' ὁρῶν (τονδὶ δωρῶν A.) ἄνευ χιτῶνος ὄντα τηλικοῦτον codex Ravennas, Brunckius in annotationibus. τονδὶ δ' ἄνευ χιτῶνος ὁρῶν ὄντα τηλικουτονὶ Brunckius in textu. τοῦτον δ' ὁρῶν ἄνευ χιτῶνος ὄντα τηλικουτονὶ (τηλικοῦτον ed. Basil. 1532., Zanettus, Bentleius) edd. ante Brunckium.

οὐπώποτ' ἀμφιμασχάλου τὸν Δῆμον ἠξίωσας,
χειμῶνος ὄντος· ἀλλ' ἐγώ σοι τουτονὶ δίδωμι.

ΔΗΜΟΣ.

τοιουτονὶ Θεμιστοκλῆς οὐπώποτ' ἐπενόησεν.
καίτοι σοφὸν κἀκεῖν' ὁ Πειραιεύς· ἔμοιγε μέντοι
οὐ μεῖζον εἶναι φαίνετ' ἐξεύρημα τοῦ χιτῶνος.

ΚΛΕΩΝ.

οἴμοι τάλας, οἵοις πιθηκισμοῖς με περιελαύνεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὔκ· ἀλλ' ὅπερ πίνων ἀνὴρ πέπονθ' ὅταν χεσείῃ,
τοῖσιν τρόποις τοῖς σοῖσιν ὥςπερ βλαυτίοισι χρῶμαι.

ΚΛΕΩΝ.

ἀλλ' οὐχ ὑπερβαλεῖ με θωπείαις· ἐγὼ γὰρ αὐτὸν
προςαμφιῶ τοδί· σὺ δ' οἴμωζ' ὦ πόνῳ πόνηρε.

V. 889. οὐπώποτ' ἀμφιμασχάλου τόνδ' ἠξίωσας Suidas v. ἀμφιμάσχαλος in ed. Mediolanensi.

V. 891. ἐπενόησεν edd. ante Brunckium, Suidas v. τοιουτονὶ t. III. p. 514.. ἐπενόησε Brunckius.

V. 894. παρελαύνεις A.. Eandem scripturam commemorat scholiastes.

V. 895. 896. Suidas v. βλαυτίοις t. I. p. 437. et v. χεσείω t. III. p. 665.

V. 896. τοῖσι τρόποις edd. ante Brunckium. τοῖς τρόποισι τοῖς σοῖσιν ὥςπερ βλαυτίοις χρήσομαι Suidas v. βλαυτίοις: τοῖσι τρόποισι τοῖς σοῖς ὥςπερ βλαυτίοισι χρήσομαι v. χεσείω, ubi MS. Oxon. τρόποισι — σοῖς — βαλαντίοις. Codex Ravennas βαλαντίοισι.

V. 897. ὑπερβαλεῖ A., B., C., Dawesius p. 248. (442. ed. Kidd.), Brunckius. ὑπερβαλεῖς edd. ante Brunckium.

V. 898. Legebatur:

προςαμφιῶ τοδί: σὺ δ' οἴμωζ', ὦ πόνηρε.

ΔΗΜΟΣ.

αἰβοῖ·

Recepi probabilem Bentleii coniecturam πόνῳ πόνηρε. αἰβοῖ extra versum esse recte vidit idem.

ΔΗΜΟΣ.

, αἰβοῖ.
οὐκ ἐς κόρακας ἀποφθερεῖ, βύρσης κάκιστον ὄζων;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ τοῦτό γ' ἐπίτηδές σε περιήμπισχεν, ἵν' ἀποπνίξῃ·
καὶ πρότερον ἐπεβούλευσέ σοι. τὸν καυλὸν οἶσθ' ἐκεῖνον
τοῦ σιλφίου τὸν ἄξιον γενόμενον;

ΔΗΜΟΣ.

οἶδα μέντοι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐπίτηδες οὗτος αὐτὸν ἔσπευδ' ἄξιον γενέσθαι,
ἵν' ἐσθίοιτ' ὠνούμενοι, κἄπειτ' ἐν Ἡλιαίᾳ
βδέοντες ἀλλήλους ἀποκτείνειαν οἱ δικασταί.

ΔΗΜΟΣ.

νὴ τὸν Ποσειδῶ καὶ πρὸς ἐμὲ τοῦτ' εἶπ' ἀνὴρ κόπρειος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐ γὰρ τόθ' ὑμεῖς βδεόμενοι δήπου 'γένεσθε πυῤῥοί;

ΔΗΜΟΣ.

καὶ νὴ Δί' ἦν γε τοῦτο Πυῤῥάνδρου τὸ μηχάνημα.

V. 899. οὐκ ἐς κόρας edd. ante Portum.

V. 900. καὶ τοῦτό γ' ἐπίτηδές σε περιήμπισχεν, ἵν' ἀποπνίξῃ Bentleius, Porsonus, Elmsleius in Edinburgh Review XXXVII. p. 87. et ad Medeam 1128. p. 253., Reisigius I. p. 94.. καὶ τοῦτ' ἐπίτηδές σε περιήμπισχ', ἵνα σ' ἀποπνίξῃ edd. ante Brunckium. καὶ τοῦτ' ἐπίτηδές σε περιήμπισχέν γ', ἵνα σ' ἀποπνίξῃ B., Ravennas, Kusterus, Brunckius. περιήμπισχεν, ἵν' ἀποπνίξῃ C..

V. 902. τὸν σιλφίου Bentleius, Brunckius tacite.

V. 903. ἔσπευσεν codex Ravennas.

V. 906. καὶ πρὸς ἐμὲ τοῦτ' εἶπ' ἀνὴρ κόπρειος codex Ravennas, Brunckius. τοῦτ' εἶπ' ἀνὴρ κόπριος A.. τουτί γ' εἶπεν ἀνὴρ κόπριος B.. τοῦτό γ' εἶπ' ἀνὴρ κόπριος C.. τουτί γ' εἶπ' ἀνὴρ κόπριος edd. ante Brunckium.

V. 908. Demo tribuunt A., Brunckius. Continuabatur Allan-

ΚΛΕΩΝ.

οἵοισί μ' ὦ πανοῦργε βωμολοχεύμασιν ταράττεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἡ γὰρ θεός μ' ἐκέλευσε νικῆσαί σ' ἀλαζονείᾳ.

ΚΛΕΩΝ.

ἀλλ' οὐχὶ νικήσεις. ἐγὼ γάρ φημί σοι παρέξειν
ὦ Δῆμε μηδὲν δρῶντι μισθοῦ τρυβλίον ῥοφῆσαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ κυλίχνιόν γέ σοι καὶ φάρμακον δίδωμι
τἀν τοῖσιν ἀντικνημίοις ἑλκύδρια περιαλείφειν.

ΚΛΕΩΝ.

ἐγὼ δὲ τὰς πολιάς γέ σου 'κλέγων νέον ποιήσω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἰδοὺ, δέχου κέρκον λαγῶ τὼ 'φθαλμιδίω περιψῆν.

ΚΛΕΩΝ.

ἀπομυξάμενος ὦ Δῆμ' ἐμοῦ πρὸς τὴν κεφαλὴν ἀποψῶ.

---

topolae. — ἦν γε τοῦτο Brunckius. ἦν γε καὶ τοῦτο A., C.. ἦν καὶ τοῦτο edd. ante Brunckium.

V. 909. ὦ πανοῦργε codex Ravennas. Legebatur ὦ πόνηρέ. Brunckius ὦ πανηρὲ.

V. 910. ἡ γὰρ Kusterus.

V. 911. ἀλλ' οὐχὶ codex Ravennas. Legebatur ἀλλ' οὔ με.

V. 912. Edd. ante Brunckium τρύβλιον.

V. 913. κυλίχνιόν γέ σοι codex Ravennas. Legebatur κυλίχνιόν τέ σοι.

V. 916. Suidas v. περιψεῖν t. III. p. 100.. λαγῶ edd. ante Portum, codex Ravennas. λαγὼ Suidas, Portus, Kusterus, Brunckius. — Codex Ravennas τὀφθαλμιδίω. H. Stephan. Thes. IV. p. 687. B., a Porsono indicatus, et Bentleius τὠφθαλμίω.

V. 917. ἀπομαξάμενος MS. Vat. Pal..

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐμοῦ μὲν οὖν.

ΚΛΕΩΝ.

ἐμοῦ μὲν οὖν.
ἐγώ σε ποιήσω τριη-
ραρχεῖν, ἀναλίσκοντα τῶν
σαυτοῦ, παλαιὰν ναῦν ἔχοντ',
εἰς ἣν ἀναλῶν οὐκ ἐφέ-
ξεις, οὐδὲ ναυπηγούμενος·
διαμηχανήσομαί θ' ὅπως
ἂν ἱστίον σαπρὸν λάβῃς.

ΧΟΡΟΣ.

ἀνὴρ παφλάζει· παῦε, παῦ'
ὑπερζέονθ'· ὑφελκτέον
τῶν δαδίων, ἀπαρυστέον
τε τῶν ἀπειλῶν ταυτηί.

ΚΛΕΩΝ.

δώσεις ἐμοὶ καλὴν δίκην,
ἰπούμενος ταῖς εἰσφοραῖς.

V. 918.—947. in stropham, mesodum et antistropham redegit Reisigius I. p. 110.

V. 918. Ita codex Ravennas. Relicui libri utrumque ἐμοῦ μὲν οὖν Allantopolae tribuunt.

V. 926. Scribebatur ἀνήρ.

V. 927. ὑπερζέονθ' Brunckius. Libri omnes ὑπερζέων.

V. 928. ὑφελκτέον δὲ τῶν ξύλων Aldina, Iuntina II.. ὑφελκτέον δὲ τῶν δάδων Iuntina I., Suidas v. ὑφελκτέον t. III. p. 569.. ὑφελκτέον τῶν δαδῶν A., C., Ravennas. ὑφελκτέον δὲ τῶν ξύλων, superscripto δαδῶν, B.. ὑφελκτέον τι τῶν ξύλων Brunckius. ὑφελκτέον δὲ τῶν δετῶν, vel τῶν δαδίων, vel δαλίων Bentleius. τῶν δαδίων Porsonus. τῶν δάδων scriptum esse ἐν τοῖς πλείοσι testatur scholiastes.

V. 931. ἱππούμενος Iuntina II.. ἰπτούμενος ταῖς συμφοραῖς

ἐγὼ γὰρ εἰς τοὺς πλουσίους
σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δ' ἀπειλήσω μὲν οὐ-
δέν· εὔχομαι δέ σοι ταδί·
τὸ μὲν τάγηνον τευθίδων
ἐφεστάναι σίζον· σὲ δὲ
γνώμην ἐρεῖν μέλλοντα περὶ
Μιλησίων, καὶ κερδανεῖν
τάλαντον, ἢν κατεργάσῃ,
σπεύδειν ὅπως τῶν τευθίδων
ἐμπλήμενος φθαίης ἔτ' εἰς
ἐκκλησίαν ἐλθεῖν· ἔπει-
τα πρὶν φαγεῖν, ἀνὴρ μεθή-
κοι, καὶ σὺ τὸ τάλαντον λαβεῖν
βουλόμενος ἐ-
σθίων ἀποπνιγείης.

A.. ἰπούμενος ταῖς συμφοραῖς Etymolog. M. c. 473, 30., Zonaras t. II. c. 1118. 1785.. ἰπούμενος ταῖς συμφοραῖς Suidas v. ἰπούμενος in editione Mediolanensi. Pollux VII, 41. δώσεις ἐμοὶ καλὴν δίκην, ἰπούμενος ταῖς συμφοραῖς, Κρατῖνός πού φησι. ubi MS. Falkenburg. Ἀριστοφάνης. Vid. Casaubon. ad Athenaeum IV. 21. c. 304.. ἰπούμενος ταῖς εἰςφοραῖς Eustathius ad Homerum p. 16.. ἰπτούμενος ταῖς συμφοραῖς ex Comico profert scholiastes ad Aeschyli Prometh. 365..

V. 942. ἐμπλησμένος Iuntina I.

V. 943.—947. In libro Ravennate hi versus ita sunt digesti:

ἐκκλησίαν ἐλθεῖν· ἔπειτα
πρὶν φαγεῖν, ἀνὴρ με-
θήκοι, καὶ σὺ, τὸ τάλαντον λαβεῖν
βουλόμενος, ἐσθίων ἀποπνιγείης.

V. 947. ἄρ' ἀποπνιγείης Porsonus in Tracts and miscell. Criticisms p. 261. et apud Kiddium ad Dawesium p. 355.. Probabilior suspicio videtur, oblitteratum esse verbum decompositum.

ΧΟΡΟΣ.

εὖ γε νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ τὴν Δήμητρα.

ΔΗΜΟΣ.

κἀμοὶ δοκεῖ καὶ τἄλλα γ᾽ εἶναι καταφανῶς
ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου
ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοῦ ᾽βολοῦ.
σὺ δ᾽ ὦ Παφλαγὼν φάσκων φιλεῖν μ᾽ ἐσκορόδισας.
καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκ ἔτι
ἐμοὶ ταμιεύσεις.

ΚΛΕΩΝ.

ἔχε· τοσοῦτον δ᾽ ἴσθ᾽ ὅτι,
εἰ μή μ᾽ ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ
ἐμοῦ πανουργότερός τις ἀναφανήσεται.

ΔΗΜΟΣ.

οὐκ ἔσθ᾽ ὅπως ὁ δακτύλιός ἐσθ᾽ οὑτοσὶ
ὁὐμός· τὸ γοῦν σημεῖον ἕτερον φαίνεται,
ἀλλ᾽ ἢ οὐ καθορῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

φέρ᾽ ἴδω, τί σοι σημεῖον ἦν;

ΔΗΜΟΣ.

δημοῦ βόειον θρῖον ἐξωπτημένον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐ τοῦτ᾽ ἔνεστιν.

V. 948. *εὖ γε νὴ* — A., B., C., Iuntina I., scholiastes, Brunckius. Legebatur *εὖ νή γε* —.

V. 949. *καί μοι* edd. ante Brunckium. *κἀμοὶ* B., C., Brunckius.

V. 960. Suidas v. *δημὸς* t. I. p. 543..

V. 960. 961. *θρίον* edd. ante Kusterum.

V. 961. *οὐ τοῦτ᾽ ἔνεστιν* codex Ravennas. Legebatur *οὐ τοῦτό γ᾽ ἐστίν.* — Verba *οὐ τὸ θρῖον; ἀλλὰ τί*; in ed. Aldina Allantopo-

ΔΗΜΟΣ.

οὐ τὸ θρῖον; ἀλλὰ τί;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν.

ΔΗΜΟΣ.

αἰβοῖ τάλας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί ἔστιν;

ΔΗΜΟΣ.

ἀπόφερ᾽ ἐκποδών.
οὐ τὸν ἐμὸν εἶχεν, ἀλλὰ τὸν Κλεωνύμου.
παρ᾽ ἐμοῦ δὲ τουτονὶ λαβὼν ταμίευέ μοι.

ΚΛΕΩΝ.

μὴ δῆτά πώ γ᾽ ὦ δέσποτ᾽, ἀντιβολῶ σ᾽ ἐγώ,
πρὶν ἄν γε τῶν χρησμῶν ἀκούσῃς τῶν ἐμῶν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ τῶν ἐμῶν.

ΚΛΕΩΝ.

ἀλλ᾽ ἤν γε πείθῃ τουτωί,

---

lae continuantur. Apertum librarii errorem arguit illud, quod nihilominus in proximi versus initio notata est Allantopolae persona. Recte Iuntina I., II., A., Brunckius. ΑΛΛ. οὐ τοῦτό γ᾽ ἐστὶν οὐ τὸ θρῖον. ΔΗ. ἀλλὰ τί; Zanettus, Brubachiana, Portus, Kusterus, Victorius.

V. 962. Scholiastes ad Nubes 591.. Conf. Suidas v. λάρος t. II. p. 416..

V. 968. Legebatur καὶ τῶν ἐμῶν νυν. νυν delevit Reisigius I. p. 204.. — ἀλλ᾽ ἤν γε πείθῃ τουτωὶ Reisigius l. l.. ἀλλ᾽ ἐὰν τούτῳ πείθῃ. Iuntina I.. ἀλλ᾽ ἐὰν τούτῳ πίθῃ Iuntina II., III.. ἀλλ᾽ ἐὰν τούτῳ πιθῇ Aldina et relicui libri.

μολγὸν γενέσθαι δεῖ σε.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κἄν γε τουτωὶ,
ψωλὸν γενέσθαι δεῖ σε μέχρι τοῦ μυῤῥίνου.

ΚΛΕΩΝ.

ἀλλ' οἵ γ' ἐμοὶ λέγουσιν ὡς ἄρξαι σε δεῖ
χώρας ἁπάσης ἐστεφανωμένον ῥόδοις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὑμοὶ δέ γ' αὖ λέγουσιν ὡς ἁλουργίδα
ἔχων κατάπαστον καὶ στεφάνην ἐφ' ἅρματος
χρυσοῦ διώξεις Σμικύθην καὶ κύριον.

ΔΗΜΟΣ.

καὶ μὴν ἔνεγκ' αὐτοὺς ἰὼν, ἵν' οὑτοσὶ
αὐτῶν ἀκούσῃ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πάνυ γε.

V. 969. μολγὸς ex Aristophane affert Hesychius t. II. c. 614..

V. 970. Suidas v. ψωλὸν t. III. p. 708. et Append. Vat. Prov. IV. 49..

V. 973. Scribebatur οἱ 'μοὶ. — δ' αὖ λ. Iuntina I..

V. 975. διώξει Elmsleius ad Acharn. p. 93. ed. Lips.. — Σμηκίθην Suidas v. Σμηκίθης t. III. p. 342.. Σμικίθην Eustathius ad Homerum p. 1754, 64.. μικύθην A.. Σμικύθην B., C.. — καὶ κύριον poetam dixisse volunt interpretes propter terminationem praecedentis vocabuli femininae similem Σμικύθην. Nobis non videtur dubitari posse quin nomen proprium aliquod in his verbis lateat. Facilis coniectura foret, una littera mutata, ΚΑΙΓΥΡΙΟΝ (id est κάγύῤῥιον), si nihil praeter litterarum similitudinem in tali loco esset spectandum. κύριον ex h. l. affert Eustath. ad Hom. 485, 20..

V. 976. καὶ μὴν — ἀκούσῃ. Demo haec tribuuntur in B., Ravennate et Iuntina I.: Cleoni in relicuis libris. — εἰσιὼν A., C.. ἰὼν, superscripto εἰς, B.. ἰσιὼν Iuntina I.. ἐσιὼν Brunckius in annotationibus,

V. 977. 978. Dissentiunt libri in personarum notatione. Aldina

ΔΗΜΟΣ.

καὶ σύ νυν φέρε.

ΚΛΕΩΝ.

ἰδού.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἰδοὺ νὴ τὸν Δί᾽· οὐδὲν κωλύει.

ΧΟΡΟΣ.

ἥδιστον φάος ἡμέρας
ἔσται τοῖσι παροῦσι πᾶ-
σιν καὶ τοῖς ἀφικνουμένοις,
ἢν Κλέων ἀπόληται.
καίτοι πρεσβυτέρων τινῶν
οἵων ἀργαλεωτάτων
ἐν τῷ δείγματι τῶν δικῶν
ἤκουσ᾽ ἀντιλεγόντων,
ὡς εἰ μὴ ᾿γένεθ᾽ οὗτος ἐν

---

et Iuntina II.: *ΑΛΛ. πάνυ γε. ΔΗ. καὶ — φέρε. ΚΛ. ἰδού. ΑΛΛ. ἰδού. ΔΗ. νὴ τὸν Δί᾽ οὐδὲν κωλύει.* Codex A., assentiente Brunckio in annotationibus: *ΑΛΛ. πάνυ — φέρε. ΚΛ. ἰδού. ΑΛΛ. ἰδού, νὴ τὸν Δί᾽ οὐδὲν κωλύει.* In C. est: *ΚΛ. ἰδοὺ ἰδού. ΑΛΛ. νὴ τὸν Δί᾽ οὐδὲν κωλύει.* In B. et Iuntina I.: *ΚΛ. πάνυ — φέρε. ΑΛΛ. ἰδού. ΚΛ. ἰδοὺ νὴ τὸν Δί᾽ οὐδὲν κωλύει.*

V. 977. Legebatur *καὶ σὺ δὴ φέρε.* A. et Ravennas *καὶ σὺ νῦν φέρε. καὶ σύ νυν φέρε* Brunckius in annotationibus. C. *καὶ σὺ φέρε.*

V. 978. Scholiastes ad v. 938..

V. 981. Legebatur *τοῖσιν ἀφικνουμένοισιν.* Scholiastes *τοῖσιν ἀφικνουμένοις. τοῖσι δεῦρ᾽ ἀφικνουμένοις* Bentleius et Hermannus de Metris p. 232.. *δεῦρο τοῖς ἀφικνουμένοις* Porsonus. Idem alio tempore *πᾶσι τοῖς ἀφικνουμένοις.* Dobraeus *παρ. πᾶσιν καὶ τοῖς ἀφικνουμένοις*, quod praetulimus.

V. 984.—986. Suidas v. *δεῖγμα* t. I. p. 529., ubi *οἷον* scriptum est.

V. 987. *εἰ μὴ ᾿γένεθ᾽* reposui ex Scaligeri Excerptis. Legebatur *εἰ μὴ γένοιθ᾽*, quod habet Suidas v. *δοίδυξ* t. I. p. 631. in editionibus: *μήγεθ᾽* MS. Oxon..

τῇ πόλει μέγας, οὐκ ἂν ἤ-
στην σκεύη δύο χρησίμω,
δοίδυξ οὐδὲ τορύνη.
ἀλλὰ καὶ τόδ' ἔγωγε θαυ-
μάζω τῆς ὑομουσίας
αὐτοῦ· φασὶ γὰρ αὐτὸν οἱ
παῖδες οἳ ξυνεφοίτων
τὴν Δωριστὶ μόνην ἂν ἁρ-
μόττεσθαι θαμὰ τὴν λύραν,
ἄλλην δ' οὐκ ἐθέλειν λαβεῖν·
κᾆτα τὸν κιθαριστὴν
ὀργισθέντ' ἀπάγειν κελεύ-
ειν, ὡς ἁρμονίαν ὁ παῖς
οὗτος οὐ δύναται μαθεῖν
ἢν μὴ Δωροδοκηστί.

V. 989. Post ἤστην verba ἐν τῇ πόλει denuo inferuntur in Iuntina I.. — δύω edd. ante Brunckium. δύο A., Suidas l. l., Bentleius, Brunckius. δύο σκεύη χρησίμω Iuntina I..

V. 990. δοῖδυξ scholiastes.

V. 995. — 997. Suidas v. Δωριστὶ t. I. p. 624. et non satis integre v. τὴν Δωριστὶ t. III. p. 462., Zonaras t. I. c. 592..

V. 995. ἂν omittunt A., C., Suidas, Zonaras.

V. 997. λαβεῖν Suidas v. Δωριστὶ et Zonaras l. l.. Legebatur μαθεῖν. λαβεῖν probavit Porsonus.

V. 1002. Δωροδοκιστί Kusterus.

ΚΛΕΩΝ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ. ΔΗΜΟΣ. ΧΟΡΟΣ.

ΚΛΕΩΝ.

Ἰδού, θέασαι, κοὐχ ἅπαντας ἐκφέρω.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οἴμ' ὡς χεσείω, κοὐχ ἅπαντας ἐκφέρω.

ΔΗΜΟΣ.

ταυτὶ τί ἐστι;

ΚΛΕΩΝ.

λόγια.

ΔΗΜΟΣ.

πάντ';

ΚΛΕΩΝ.

ἐθαύμασας;
καὶ νὴ Δί' ἔτι γ' ἐμοὔστι κιβωτὸς πλέα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐμοὶ δ' ὑπερῷον καὶ ξυνοικία δύο.

ΔΗΜΟΣ.

φέρ' ἴδω, τίνος γάρ εἰσιν οἱ χρησμοί ποτε;

V. 1006. ἔτι γ' ἐμ οὖστι Aldina. ἔτι γ' ἐμου ''στι Iuntina I., II.. ἔτι γ' ἐμοῦ 'στι codex Ravennas et edd. recentiores ante Brunckium, qui more suo dedit ἔτι γ' ἐμοί 'στι.

V. 1007. δύο ex Iuntina I. Brunckius. Legebatur δύω.

ΚΛΕΩΝ.

οὑμοὶ μὲν εἰσι Βάκιδος.

ΔΗΜΟΣ.

οἱ δὲ σοὶ τίνος;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

Γλάνιδος, ἀδελφοῦ τοῦ Βάκιδος γεραιτέρου.

ΔΗΜΟΣ.

εἰσὶν δὲ περὶ τοῦ;

ΚΛΕΩΝ.

περὶ Ἀθηνῶν, περὶ Πύλου,
περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.

ΔΗΜΟΣ.

οἱ σοὶ δὲ περὶ τοῦ;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

περὶ Ἀθηνῶν, περὶ φακῆς,
περὶ Λακεδαιμονίων, περὶ σκόμβρων νέων,
περὶ τῶν μετρούντων τἄλφιτ' ἐν ἀγορᾷ κακῶς,
περὶ σοῦ, περὶ ἐμοῦ. τὸ πέος οὑτοσὶ δάκοι.

ΔΗΜΟΣ.

ἄγε νυν ὅπως αὐτοὺς ἀναγνώσεσθέ μοι,
καὶ τὸν περὶ ἐμοῦ 'κεῖνον ᾧπερ ἥδομαι,
ὡς ἐν νεφέλῃσιν αἰετὸς γενήσομαι.

V. 1009. οἱ 'μοὶ Brunckius.

V. 1011. εἰσὶ edd. ante Brunckium.

V. 1016. Ita Brunckius ex A.. Legebatur:
περὶ σοῦ, περὶ ἐμοῦ, περὶ ἁπάντων πραγμάτων.
τὸ πέος ἂν οὑτοσὶ δάκοι.

In qua scriptura consentiunt B., C., nisi quod C. ἂν particulam recte omittit.

V. 1017. ἄγε νῦν edd. ante Brunckium.

ΚΛΕΩΝ.

ἄκουε δή νυν καὶ πρόςεχε τὸν νοῦν ἐμοί.
Φράζευ Ἐρεχθείδη λογίων ὁδὸν, ἥν σοι Ἀπόλλων
ἴαχεν ἐξ ἀδύτοιο διὰ τριπόδων ἐριτίμων.
σώζεσθαί σ' ἐκέλευσ' ἱερὸν κύνα καρχαρόδοντα,
ὃς πρὸ σέθεν χάσκων καὶ ὑπὲρ σοῦ δεινὰ κεκραγὼς
σοὶ μισθὸν πορίεῖ· κἂν μὴ δρᾷ ταῦτ', ἀπολεῖται.
πολλοὶ γὰρ μίσει σφε κατακρώζουσι κολοιοί.

ΔΗΜΟΣ.

ταυτὶ μὰ τὴν Δήμητρ' ἐγὼ οὐκ οἶδ' ὅ τι λέγει.
τί γάρ ἐστ' Ἐρεχθεῖ καὶ κολοιοῖς καὶ κυνί;

ΚΛΕΩΝ.

ἐγὼ μέν εἰμ' ὁ κύων· πρὸ σοῦ γὰρ ἀπύω·
σοὶ δ' εἶπε σώζεσθαί μ' ὁ Φοῖβος τὸν κύνα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐ τοῦτό φησ' ὁ χρησμός· ἀλλ' ὁ κύων ὁδὶ
ὥςπερ θύρας σου τῶν λογίων παρεσθίει.
ἐμοὶ γὰρ ἔστ' ὀρθῶς περὶ τούτου τοῦ κυνός.

V. 1020. Scribebatur ἄκουε δὴ νῦν.

V. 1022. ἴαχεν ἀστοῖσι διὰ τριπόδων ἐριτίμων scholiastes ad Plutum 39..

V. 1024. ὃς πρόσθεν δάκνων edd. ante Brunckium. ὃς πρόσθε λάσκων C., superscripto δάκνων, Brunckius in annotationibus. ὃς πρόσθεν λάσκων Brunckius in textu. ὃς πρόσθε χάσκων codex Ravennas. ὃς πρὸ σέθεν recte Porsonus et Hotibius ex versu 1029.. — ὑπὲρ σέο Brunckius.

V. 1025. δρᾷς Hotibius, probante Dobraeo.

V. 1026. κατακρώζουσι A., B., C., Brunckius. Scribebatur κατακράζουσι.

V. 1027. Codex Ravennas ἐγὼ γ' οὐκ. Iuntina II. μὰ τὴν Δήμητρ' οὐκ.

V. 1028. τί γὰρ ἔστ' Brunckius. — Ἐρεχθείδει, κολοιοῖς Bentleius.

V. 1029. ἐγὼ γάρ εἰμ' codex Ravennas.

V. 1033. ἐμοὶ γάρ ἐστ' edd. ante Brunckium.

ΔΗΜΟΣ.

λέγε νυν· ἐγὼ δὲ πρῶτα λήψομαι λίθον,
ἵνα μή μ' ὁ χρησμὸς ὁ περὶ τοῦ κυνὸς δάκῃ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

Φράζευ Ἐρεχθείδη κύνα Κέρβερον ἀνδραποδιστήν,
ὃς κέρκῳ σαίνων σ', ὁπόταν δειπνῇς, ἐπιτηρῶν,
ἐξέδεταί σου τοὔψον, ὅταν σύ που ἄλλοσε χάσκῃς·
ἐςφοιτῶν τ' ἐς τοὐπτάνιον λήσει σε κυνηδὸν
νύκτωρ τὰς λοπάδας καὶ τὰς νήσους διαλείχων.

ΔΗΜΟΣ.

νὴ τὸν Ποσειδῶ πολύ γ' ἄμεινον ὦ Γλάνι.

ΚΛΕΩΝ.

ὦ τᾶν, ἄκουσον, εἶτα διάκρινον τότε.
Ἔστι γυνή, τέξει τε λέονθ' ἱεραῖς ἐν Ἀθήναις,
ὃς περὶ τοῦ δήμου πολλοῖς κώνωψι μαχεῖται,
ὥςτε περὶ σκύμνοισι βεβηκώς· τὸν σὺ φύλασσε,
τεῖχος ποιήσας ξύλινον πύργους τε σιδηροῦς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ταῦτ' οἶσθ' ὅ τι λέγει;

ΔΗΜΟΣ.

μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ.

V. 1034. *λέγε νῦν* codex Ravennas. *λέγε δή* edd. ante Brunckium. *λέγε δῆτ'* Bentleius, Brunckius tacite.

V. 1037. *σαίνων σ'* A., B., Brunckius. Aberat pronomen.

V. 1038. Codex Ravennas *ἐξέλεταί σου τοὔψον.*

V. 1039. *τοὐπτάνεῖον* A..

V. 1043. *Ἐστὶ* Brunckius.

V. 1045. *ὡς περὶ* codex Ravennas. *ὧς περὶ σκύμνοις* scholiastes. — *ὃν σὺ φύλαξαι* edd. ante Brunckium. *τὸν σὺ φύλαξαι* codex Ravennas. *ὃν σὺ φύλασσε* A., Brunckius.

V. 1047. Verba *ταῦτ' οἶσθ' ὅ τι λέγει;* Demo tribuebantur, reliqua versus pars Allantopolae. Apertum vitium arguunt sequentia. Secutus ego sum optimum librum Iuntinum I..

ΚΛΕΩΝ.

ἔφραζεν ὁ θεός σοι σαφῶς σώζειν ἐμέ·
ἐγὼ γὰρ ἀντὶ τοῦ λέοντός εἰμί σοι.

ΔΗΜΟΣ.

καὶ πῶς μ' ἐλελήθης Ἀντιλέων γεγενημένος;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκών,
ὃ μόνον σιδηροῦν τεῖχός ἐστι καὶ ξύλον,
ἐν ᾧ σε σώζειν τόνδ' ἐκέλευσ' ὁ Λοξίας.

ΔΗΜΟΣ.

πῶς δῆτα τοῦτ' ἔφραζεν ὁ θεός;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τουτονὶ
δῆσαί σ' ἐκέλευε πεντεσυρίγγῳ ξύλῳ.

ΔΗΜΟΣ.

ταυτὶ τελεῖσθαι τὰ λόγι' ἤδη μοι δοκεῖ.

ΚΛΕΩΝ.

μὴ πείθου· φθονεραὶ γὰρ ἐπικρώζουσι κορῶναι.
ἀλλ' ἱέρακα φίλει, μεμνημένος ἐν φρεσίν, ὅς σοι
ἤγαγε συνδήσας Λακεδαιμονίων κορακίνους.

V. 1048. ἔφρασεν edd. ante Brunckium. ἔφρασσεν B.. ἔφραζεν, ex v. 1054. Bentleius, Porsonus, Brunckius, codex Ravennas.

V. 1050. ἐλελήθης Brunckius. ἐλελήθεις edd. ante Brunckium.

V. 1051. 1052. Conieci olim:

ἓν οὐκ ἀναδιδάσκει σε τῶν λογίων ἑκὼν
μόνον, ὃ σιδηροῦν τεῖχός ἐστι καὶ ξύλον.

Post ἑκὼν non distinguunt veterrimae editiones.

V. 1052. ξύλων A.. ξύλων a prima manu C., emendatum postea in ξύλινον. ξύλον B., superscripto ξύλινον. ξύλινον scholiastes.

V. 1055. ἐκέλευ' ἐν πεντεσυρίγγῳ ξύλῳ Elmsleius ad Acharn. p. 108. ed. Lips. et Porsonus, ex Etymolog. M. c. 346, 18. ubi verba ἐν πεντεσυρίγγῳ ξύλῳ sine auctoris nomine afferuntur.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τοῦτο γέ τοι Παφλαγὼν παρεκινδύνευσε μεθυσθείς.
Κεκροπίδη κακόβουλε, τί τοῦθ' ἡγεῖ μέγα τοὖργον;
καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη·
ἀλλ' οὐκ ἂν μαχέσαιτο· χέσαιτο γάρ, εἰ μαχέσαιτο.

ΚΛΕΩΝ.

ἀλλὰ τόδε φράσσαι, πρὸ Πύλου Πύλον ἥν σοι ἔφραζεν·
Ἔστι Πύλος πρὸ Πύλοιο —

ΔΗΜΟΣ.

τί τοῦτο λέγει, πρὸ Πύλοιο;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὰς πυέλους φησὶν καταλήψεσθ' ἐν βαλανείῳ.

ΔΗΜΟΣ.

ἐγὼ δ' ἄλουτος τήμερον γενήσομαι.
οὗτος γὰρ ἡμῶν τὰς πυέλους ἀφήρπασεν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' οὑτοσὶ γάρ ἐστι περὶ τοῦ ναυτικοῦ
ὁ χρησμός, ᾧ σε δεῖ προσέχειν τὸν νοῦν πάνυ.

ΔΗΜΟΣ.

προσέχω· σὺ δ' ἀναγίγνωσκε, τοῖς ναύταισί μου
ὅπως ὁ μισθὸς πρῶτον ἀποδοθήσεται.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

Αἰγείδη, φράσσαι κυναλώπεκα, μή σε δολώσῃ,

V. 1060. τοῦτο δέ τοι Invernizii editio.

V. 1062. φέρει A., C..

V. 1064. Legebatur φράζεν. Codex Ravennas φράσαι.

V. 1066. Iuntina I. ἐν τῷ βαλανείῳ.

V. 1068. Demo tribuit codex Ravennas: Allantopolae reliqui libri. — οὗτος codex Ravennas. Legebatur αὐτός.

V. 1073. φράσσαι Brunckius. φρᾶσαι edd. ante Brunckium. φράσαι A., C.. φράσαι, superscripto altero σ, B..

λαίθαργον, ταχύπουν, δολίαν κερδὼ, πολύιδριν.
οἶσθ' ὅ τί ἐστιν τοῦτο;

ΔΗΜΟΣ.

Φιλόστρατος, ἡ κυναλώπηξ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐ τοῦτό φησιν· ἀλλὰ ναῦς ἑκάστοτε
αἰτεῖ ταχείας ἀργυρολόγους οὑτοσί·
ταύτας ἀπαυδᾷ μὴ διδόναι σ' ὁ Λοξίας.

ΔΗΜΟΣ.

πῶς δὴ τριήρης ἐστὶ κυναλώπηξ;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὅπως;
ὅτι ἡ τριήρης ἐστὶ χὠ κύων ταχύ.

ΔΗΜΟΣ.

πῶς οὖν ἀλώπηξ προςετέθη πρὸς τῷ κυνί;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλωπεκίοισι τοὺς στρατιώτας ἤκασεν,
ὁτιὴ βότρυς τρώγουσιν ἐν τοῖς χωρίοις.

ΔΗΜΟΣ.

εἶεν·
τούτοις ὁ μισθὸς τοῖς ἀλωπεκίοισι ποῦ;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼποριῶ καὶ τοῦτον ἡμερῶν τριῶν.

V. 1074. λήθαργον Blomfieldus ad Aeschyli Sept. c. Th. p. 132.

V. 1075. οἶσθ' ὅτι γ' ἔστιν τοῦτο; Brunckius. Legebatur οἶσθ' ὅτι τοῦτο τί ἐστι;. Iuntina I. et codex A. οἶσθ' ὅ τι τοῦτο;. C. οἶσθ' ὅτι τί ἐστι τοῦτο;. ἔστιν habet Ravennas. — Φιλόστρατος ὁ κυναλώπηξ scholiastes ad Lysistr. 956.

V. 1080. ὅτι ἡ τριήρης A., Brunckius. Legebatur ὁτιὴ τριήρης.

V. 1082. εἴκασεν A., B.

ἀλλ' ἔτι τόνδ' ἐπάκουσον, ὃν εἶπέ σοι ἐξαλέασθαι,
χρησμὸν Λητοΐδης, Κυλλήνην, μή σε δολώσῃ.

ΔΗΜΟΣ.

ποίαν Κυλλήνην;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὴν τούτου χεῖρ' ἐποίησεν
Κυλλήνην ὀρθῶς, ὁτιή φησ', ἔμβαλε κυλλῇ.

ΚΛΕΩΝ.

οὐκ ὀρθῶς φράζει. τὴν Κυλλήνην γὰρ ὁ Φοῖβος
εἰς τὴν χεῖρ' ὀρθῶς ᾐνίξατο τὴν Διοπείθους.
ἀλλὰ γὰρ ἔστιν ἐμοὶ χρησμὸς περὶ σοῦ πτερυγωτός·
αἰετὸς ὡς γίγνει καὶ πάσης γῆς βασιλεύσεις.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ γὰρ ἐμοὶ, καὶ γῆς, καὶ τῆς ἐρυθρᾶς γε θαλάσσης
χὤτι γ' ἐν Ἐκβατάνοις δικάσεις, λείχων ἐπίπαστα.

ΚΛΕΩΝ.

ἀλλ' ἐγὼ εἶδον ὄναρ, καί μοι δόκει ἡ θεὸς αὐτὴ
τοῦ δήμου καταχεῖν ἀρυταίνῃ πλουθυγίειαν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

νὴ Δία καὶ γὰρ ἐγώ· καί μοι δόκει ἡ θεὸς αὐτὴ

V. 1089. Eustathius ad Homerum p. 1764, 30..

V. 1090. φράζει codex Ravennas. Legebatur φράζεις.

V. 1091. εἰς codex Ravennas. Scribebatur ἐς.

V. 1092. ἀλλὰ γὰρ ἔστιν μοι edd. ante Brunckium. ἔστι μοι A., C.. ἀλλὰ γάρ ἐστιν ἐμοὶ Brunckius. — χρησμὸς περκνὸς πτερυγωτός Scaligeri Excerpta.

V. 1094. ἐρυθρῆς γε B.. ἐρυθρᾶς τε A., C..

V. 1096. καί μοι δοκεῖ edd. ante Kusterum. καί μοι 'δόκει Kusterus, Brunckius. μοι 'δόκει vel μου δόκει (μοὐδόκει) Bentleius.

V. 1097. ἀρυταίνῃ Pollux VII, 166., Eustathius ad Homerum p. 1159, 59. et p. 1599, 50..

V. 1098. καί μοι 'δόκει edd. ante Brunckium.

ἐκ πόλεως ἐλθεῖν, καὶ γλαῦξ αὐτῇ 'πικαθῆσθαι·
εἶτα καταοπένδειν κατὰ τῆς κεφαλῆς ἀρυβάλλῳ
ἀμβροσίαν κατὰ σοῦ· κατὰ τούτου δὲ σκοροδάλμην.

ΔΗΜΟΣ.

ἰοὺ ἰού.
οὐκ ἦν ἄρ' οὐδεὶς τοῦ Γλάνιδος σοφώτερος.
καὶ νῦν ἐμαυτὸν ἐπιτρέπω σοι τουτονὶ
γεροντογωγεῖν κἀναπαιδεύειν πάλιν.

ΚΛΕΩΝ.

μήπω γ', ἱκετεύω σ', ἀλλ' ἀνάμεινον, ὡς ἐγὼ
κριθὰςποριῶ σοι καὶ βίον καθ' ἡμέραν.

ΔΗΜΟΣ.

οὐκ ἀνέχομαι κριθῶν ἀκούων· πολλάκις
ἐξηπατήθην ὑπό τε σοῦ καὶ Θουφάνους.

ΚΛΕΩΝ.

ἀλλ' ἄλφιτ' ἤδη σοι ποριῶ 'σκευασμένα.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ μαζίσκας γε διαμεμαγμένας,
καὶ τοὔψον ὀπτάν· μηδὲν ἄλλ' εἰ μὴ 'σθιε.

ΔΗΜΟΣ.

ἀνύσατε νῦν, ὅ τί περ ποιήσεθ'· ὡς ἐγὼ,
ὁπότερος ἂν σφῷν εὖ με μᾶλλον αὖ ποιῇ,

V. 1099. Scribebatur γλαὺξ. Vid. Lobeck. ad Phrynichum p. 76..

V. 1100. Athenaeus t. IV. p. 222., Pollux X, 63., Etymolog. M. c. 150, 52., Suidas v. ἀρίβαλλος t. I. p. 320., grammaticus in Bekkeri Anecdotis t. I. p. 444, 25.. Apud Suidam et grammaticum Bekkeri scriptum est ἀριβάλλῳ: sed ἀρυβάλλῳ Suidae MSS. Paris., Pollux VII, 166., Eustathius ad Homerum p. 1405, 12..

V. 1103. καὶ νῦν codex Ravennas et Iuntina I.. Legebatur καὶ μὴν.

V. 1113. αὖ ποιῇ Reisigius I. p. 188.. Legebatur ἂν ποιῇ. Elmsleio in Museo crit. Cantabrig. III. p. 362. scribendum videtur

τούτῳ παραδώσω τῆς πυκνὸς τὰς ἡνίας.

ΚΛΕΩΝ.

τρέχοιμ' ἂν εἴσω πρότερος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐ δῆτ', ἀλλ' ἐγώ.

ΧΟΡΟΣ.

ὦ Δῆμε, καλήν γ' ἔχεις
ἀρχὴν, ὅτε πάντες ἄν-
θρωποι δεδίασί σ' ὥς-
περ ἄνδρα τύραννον.
ἀλλ' εὐπαράγωγος εἶ,
θωπευόμενός τε χαί-
ρεις κἀξαπατώμενος,
πρὸς τόν τε λέγοντ' ἀεὶ
κέχηνας· ὁ νοῦς δέ σου
παρὼν ἀποδημεῖ.

ΔΗΜΟΣ.

νοῦς οὐκ ἔνι ταῖς κόμαις

ὁπότερος ἂν σφῷν νῦν με μᾶλλον εὖ ποιῇ. ὁπότερος σφῷν εὖ με μᾶλλον ἂν ποιῇ Suidas v. ἡνία t. II. p. 63. et v. πυυκὸς t. III. p. 136. in ed. Mediolanensi et cod. Oxoniensi (qui priore loco etiam με omittit): nam Kusterus utrobique dedit ὁπότερος ἄν.

V. 1114. πυκνὸς codex Ravennas et Herodianus apud Stephanum Byzant. v. πνύξ. Legebatur πυυκὸς, quod habet Suidas ll. ll..

V. 1115. Prior versus pars Allantopolae, altera Cleoni tribuebatur. Mutavit Brunckius ex A., B.. — εἴσω liber Ravennas. Legebatur ἤδη.

V. 1120.—1125. Suidas v. εὐπαράγωγος t. I. p. 901..

V. 1120. 1121. Zonaras t. I. c. 901..

V. 1123. πρός τε τὸν edd. ante Portum. πρὸς τόν τε Portus, Kusterus, Brunckius, Suidae MS. Oxon..

V. 1126.—1129. Suidas v. νοῦς οὐκ t. II. p. 635. 636., Zonaras t. I. c. 988. 989..

ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
νομίζετ'· ἐγὼ δ' ἑκὼν
ταῦτ' ἠλιθιάζω.
αὐτός τε γὰρ ἥδομαι
βρύλλων τὸ καθ' ἡμέραν,
κλέπτοντά τε βούλομαι
τρέφειν ἕνα προστάτην·
τοῦτον δ', ὅταν ᾖ πλέως,
ἄρας ἐπάταξα.

ΧΟΡΟΣ.

χοὔτω μὲν ἂν εὖ ποιοῖς,
εἴ σοι πυκνότης ἔνεστ'
ἐν τῷ τρόπῳ, ὡς λέγεις,
τούτῳ πάνυ πολλή,
εἰ τούςδ' ἐπίτηδες ὥς-
περ δημοσίους τρέφεις
ἐν τῇ πυκνί· κᾆθ' ὅταν
μή σοι τύχῃ ὄψον ὄν,
τούτων ὃς ἂν ᾖ παχὺς,
θύσας ἐπιδειπνεῖς.

V. 1127. ὅτι Kusterus et Brunckius.

V. 1129. ταῦθ' ἠλίαζω Suid. MS. Oxon.. ταῦθ' ἠλιθιάζω scholiastes.

V. 1131.—1135. Suidas v. βρύλλων t. I. p. 458..

V. 1134. Codex Ravennas τοῦτον, ὅταν δ' ᾖ πλέως.

V. 1136. Codex Ravennas χοὔτω μὲν ἂν εὖ ποιεῖς. οὕτω μὲν ἂν εὖ ποιῇς edd. ante Brunckium. οὕτω μὲν ἂν εὖ ποιεῖς C., Brunckius. χ' οὕτω μὲν ἂν εὖ ποιοῖς, εἴ σοι πυκνότης ἔνεστι Suidas v. πυκνότης t. III. p. 238. in ed. Mediolanensi et codice Oxoniensi.

V. 1137. καί σοι Berglerus, Reiskius. Ego punctum post πολλή vulgo positum in comma mutavi.

V. 1141.—1145. Suidas v. φαρμακοὺς t. III. p. 581..

V. 1142. πυκνὶ codex Ravennas. Scribebatur πνυκί.

V. 1143. τύχοι Suidas l. l..

ΔΗΜΟΣ.

σκέψασθε δέ μ', εἰ σοφῶς
αὐτοὺς περιέρχομαι,
τοὺς οἰομένους φρονεῖν
κἄμ' ἐξαπατύλλειν.
τηρῶ γὰρ ἑκάστοτ' αὐ-
τοὺς, οὐδὲ δοκῶν ὁρᾶν,
κλέπτοντας· ἔπειτ' ἀναγ-
κάζω πάλιν ἐξεμεῖν
ἅττ' ἂν κεκλόφωσί μου,
κημὸν καταμηλῶν.

V. 1146.—1149. Suidas v. περιέρχομαι t. III. p. 86..

V. 1146. σκέψασθε δ' ἔμ' εἰ — Brunckius.

V. 1149. κἄμ' codex Ravennas, Suidas l. l. in ed. Mediolanensi. Legebatur καί μ'.

V. 1152.—1155. Suidas v. κημὸν t. II. p. 308..

V. 1154. ὅσσ' ἂν edd. ante Frobenianam, quae prima ἅττ' ἂν dedit, confirmatum ab scholiaste et Suida l. l..

ΚΛΕΩΝ. ΑΛΛΑΝΤΟΠΩΛΗΣ. ΔΗΜΟΣ.
ΧΟΡΟΣ.

ΚΛΕΩΝ.

Ἄπαγ' ἐς μακαρίαν ἐκποδών.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

σύ γ' ὦ φθόρε.

ΚΛΕΩΝ.

ὦ Δῆμ', ἐγὼ μέντοι παρεσκευασμένος
τρίπαλαι κάθημαι, βουλόμενός σ' εὐεργετεῖν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ δεκάπαλαί γε, καὶ δωδεκάπαλαι,
καὶ χιλιόπαλαι, καὶ πρόπαλαι, πάλαι, πάλαι.

ΔΗΜΟΣ.

ἐγὼ δὲ προςδοκῶν γε τριςμυριόπαλαι
βδελύττομαι σφώ, καὶ πρόπαλαι, πάλαι, πάλαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οἶσθ' οὖν ὃ δρᾶσον;

ΔΗΜΟΣ.

εἰ δὲ μή, φράσεις γε σύ.

V. 1156. Suidas v. ὦ φθόρε t. II. p. 774.. — ἔῤῥ' εἰς μακαρίαν varia lectio apud scholiasten.

V. 1160. καὶ πάλαι, πάλαι Iuntina I..

V. 1162. Scribebatur βδελύττομαί σφω.

V. 1163. εἰ δὲ μὴ codex Ravennas, Elmsleius ad Acharn. p. 49. ed. Lips.. Legebatur εἴ γε μή.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἄφες ἀπὸ βαλβίδων ἐμέ τε καὶ τουτονί,
ἵνα σ' εὖ ποιῶμεν ἐξ ἴσου.

ΔΗΜΟΣ.

δρᾶν ταῦτα χρή.
ἄπιτον.

ΚΛΕΩΝ.

ἰδού.

ΔΗΜΟΣ.

θέοιτ' ἄν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὑποθεῖν οὐκ ἐῶ.

ΔΗΜΟΣ.

ἀλλ' ἦ μεγάλως εὐδαιμονήσω τήμερον
ὑπὸ τῶν ἐραστῶν νὴ Δί' ἢ 'γὼ θρύψομαι.

ΚΛΕΩΝ.

ὁρᾷς; ἐγώ σοι πρότερος ἐκφέρω δίφρον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' οὐ τράπεζαν· ἀλλ' ἐγὼ προτεραίτερος.

V. 1164. Suidas v. ἄφες t. I. p. 394..

V. 1165. Scribebatur ἐξίσου.

V. 1166. ἰδού Allantopolae, ὑποθεῖν οὐκ ἐῶ Cleoni tribuebatur. Mutavit Brunckius in annotationibus auctoritate codicis B.. Verbis ὑποθεῖν οὐκ ἐῶ utitur Suidas v. ὑποθεῖν t. III. p. 555..

V. 1168. εἰ 'γὼ Bentleius.

V. 1169. Edd. ante Portum:

ΚΛΕΩΝ.

ὁρᾷς; ἐγώ σοι πρότερος ἐκφέρω δίφρον,
ἀλλ' οὐ τράπεζαν.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἀλλ' ἐγὼ προτεραίτερος.

ΚΛΕΩΝ.

ἰδού, φέρω σοι τήνδε μαζίσκην ἐγώ,
ἐκ τῶν ὀλῶν τῶν ἐκ Πύλου μεμαγμένην.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δὲ μυστίλας μεμυστιλημένας
ὑπὸ τῆς θεοῦ τῇ χειρὶ τῇ 'λεφαντίνῃ.

ΔΗΜΟΣ.

ὡς μέγαν ἄρ' εἶχες ὦ πότνια τὸν δάκτυλον.

ΚΛΕΩΝ.

ἐγὼ δ' ἔτνος γε πίσινον εὔχρων καὶ καλόν·
ἐτόρυνε δ' αὔθ' ἡ Παλλὰς η Πυλαιμάχος.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὦ Δῆμ', ἐναργῶς ἡ θεός σ' ἐπισκοπεῖ,
καὶ νῦν ὑπερέχει σου χύτραν ζωμοῦ πλέαν.

ΔΗΜΟΣ.

οἴει γὰρ οἰκεῖσθ' ἂν ἔτι τήνδε τὴν πόλιν,
εἰ μὴ φανερῶς ἡμῶν ὑπερεῖχε τὴν χύτραν;

ΚΛΕΩΝ.

τουτὶ τέμαχός σοὔδωκεν ἡ Φοβεσιστράτη.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἡ δ' Ὀβριμοπάτρα γ' ἐφθὸν ἐκ ζωμοῦ κρέας,
καὶ χόλικος ἠνύστρου τε καὶ γαστρὸς τόμον.

V. 1178. ἡ θεὸς ἐπισκοπεῖ edd. ante Portum. Emendatum etiam in Scaligeri Excerptis.

V. 1180. οἰκεῖσθαι ἂν Elmsleius ad Sophoclis Oedip. Tyr. v. 1227..

V. 1182. τουτὶ τέμαχος σοὔδωκεν Reisigius I. p. 183.. σοι δῶκεν edd. ante Brunckium, qui σοι ῎δωκεν scripsit. — Φοβεστράτη scholiastes.

V. 1183. 1184. Athenaeus t. I. p. 368.. Ὀβριμοπάτρα A., Iuntina I., Brunckius. Legebatur Ὀμβριμοπάτρα.

ΔΗΜΟΣ.

καλῶς γ' ἐποίησε τοῦ πέπλου μεμνημένη.

ΚΛΕΩΝ.

ἡ Γοργολόφα σ' ἐκέλευε τουτονὶ φαγεῖν
ἐλατῆρος, ἵνα τὰς ναῦς ἐλαύνωμεν καλῶς.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

λαβὲ καὶ ταδί νυν.

ΔΗΜΟΣ.

καὶ τί τούτοις χρήσομαι
τοῖς ἐντέροις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐπίτηδες αὔτ' ἔπεμψέ σοι
εἰς τὰς τριήρεις ἐντερόνειαν ἡ θεός·
ἐπισκοπεῖ γὰρ περιφανῶς τὸ ναυτικόν.
ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.

ΔΗΜΟΣ.

ὡς ἡδὺς ὦ Ζεῦ, καὶ τὰ τρία φέρων καλῶς.

V. 1186. 1187. Allantopolae hos versus tribuit Iuntina I.. Errorem arguit illud, quod Allantopolae personae nota rursus praefixa est initio proximi versus.

V. 1187. ἐλατῆρος. Eustathius ad Homerum p. 877, 34. 1163, 41..

V. 1188. Scribebatur ταδὶ νῦν.

V. 1190. ἐντερόνειαν edd. ante Portum, praeter Iuntinam I.. ἐντερονείαν scholiastae annotationi praefixum dederunt Portus, Kusterus, Brunckius. Restitui ἐντερόνειαν, quod habent Suidas v. ἐντερόνεια t. I. p. 755. et scholiastes, Herodiano usi auctore, et Pollux II, 212., Hesychius t. I. c. 1260..

V. 1192. 1194. Suidas v. κεκραμένον t. II. p. 291., ubi editum ἔγχει πιεῖν: sed MS. Oxon. ἔχε πιεῖν.

V. 1192. ἔχε ποιεῖν κεκραμένον τρία καὶ δύο Suidas v. κόμα κεκραμένον in ed. Mediolanensi. Nam Kusterus t. III. p. 148. πιεῖν dedit. ἔχε πιεῖν habet Eustathius ad Homerum p. 1624, 43..

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριπώνισε.

ΚΛΕΩΝ.

λαβέ νυν πλακοῦντος πίονος παρ' ἐμοῦ τόμον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

παρ' ἐμοῦ δ' ὅλον γε τὸν πλακοῦντα τουτονί.

ΚΛΕΩΝ.

ἀλλ' οὐ λαγῷ' ἕξεις ὁπόθεν δῷς· ἀλλ' ἐγώ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οἴμοι· πόθεν λαγῷά μοι γενήσεται;
ὦ θυμὲ, νυνὶ βωμολόχον ἐξευρέ τι.

ΚΛΕΩΝ.

ὁρᾷς τάδ' ὦ κακόδαιμον;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ὀλίγον μοι μέλει·
ἐκεινοιὶ γὰρ ὡς ἔμ' ἔρχονται.

ΚΛΕΩΝ.

τίνες;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

πρέσβεις ἔχοντες ἀργυρίου βαλάντια.

ΚΛΕΩΝ.

ποῦ, ποῦ;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί δέ σοι τοῦτ'; οὐκ ἐάσεις τοὺς ξένους;

V. 1195. Scribebatur λαβὲ νῦν.
V. 1197. 1198. 1204. Vulgo λαγῶα, non λαγῷα.
V. 1199. Eustathius ad Homerum p. 9. extr.
V. 1201. Legebatur ἀλλὰ γὰρ ἐκεῖνοί γ' ὡς ἔμ' ἔρχονται. Codex

ὦ Δημίδιον, ὁρᾷς τὰ λαγῷ' ἅ σοι φέρω;

ΚΛΕΩΝ.

οἴμοι τάλας, ἀδίκως γε τἀμ' ὑφήρπασας.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

νὴ τὸν Ποσειδῶ, καὶ σὺ γὰρ τοὺς ἐκ Πύλου.

ΔΗΜΟΣ.

εἴπ', ἀντιβολῶ, πῶς ἐπενόησας ἁρπάσαι;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τὸ μὲν νόημα τῆς θεοῦ· τὸ δὲ κλέμμ' ἐμόν.

ΚΛΕΩΝ.

ἐγὼ δ' ἐκινδύνευσ'.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ δ' ὤπτησά γε.

ΔΗΜΟΣ.

ἄπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.

ΚΛΕΩΝ.

οἴμοι κακοδαίμων, ὑπεραναιδευθήσομαι.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τί οὐ διακρίνεις Δῆμ', ὁπότερός ἐστι νῷν

Ravennas ἐκεῖνοι γὰρ ὡς ἔμ' ἔρχονται. Recte Elmsleius ad Acharn. p. 202. ed. Lips.. ὡς ἔμ' ἔρχονταί τινες varia lectio apud scholiasten.

V. 1207. Cleoni tribuit Iuntina I..

V. 1208. Suidas v. νόημα t. II. p. 627. et v. τὸ νόημα t. III. p. 484..

V. 1210. In edd. ante Kusterum distinguitur post οὐ γὰρ. Verba ἄπιθ' οὐ γὰρ habet Suidas v. ἄπιθ', ubi ea omisit Kusterus.

V. 1211. ὑπεραναιδευθήσομαι Elmsleius ad Eurip. Heraclid. 387.. Legebatur ὑπεραναιδεσθήσομαι, quod habet Suidas t. III. p. 538.. F. ὑπεραναιδισθήσομαι.

ἀνὴρ ἀμείνων περὶ σὲ καὶ τὴν γαστέρα;

ΔΗΜΟΣ.

τῷ δῆτ' ἂν ὑμᾶς χρησάμενος τεκμηρίῳ
δόξαιμι κρίνειν τοῖς θεαταῖσιν σοφῶς;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐγὼ φράσω σοι. τὴν ἐμὴν κίστην ἰὼν
ξύλλαβε σιωπῇ, καὶ βασάνισον ἅττ' ἔνι,
καὶ τὴν Παφλαγόνος· κἀμέλει κρινεῖς καλῶς.

ΔΗΜΟΣ.

φέρ' ἴδω, τί οὖν ἔνεστιν;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

οὐχ ὁρᾷς κενὴν
ὦ παππίδιον; ἅπαντα γάρ σοι παρεφόρουν.

ΔΗΜΟΣ.

αὕτη μὲν ἡ κίστη τὰ τοῦ δήμου φρονεῖ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

βάδιζε γοῦν καὶ δεῦρο πρὸς τὴν Παφλαγόνος.
ὁρᾷς τάδ';

ΔΗΜΟΣ.

οἴμοι τῶν ἀγαθῶν, ὅσων πλέα.
ὅσον τὸ χρῆμα τοῦ πλακοῦντος ἀπέθετο·

V. 1219. Ita codex Ravennas. Legebatur: φέρ' ἴδω, τί οὖν ἔστ'; — ἀλλά γ' οὐχ ὁρᾷς κενήν. Codex A.: φέρ' ἴδω, τί οὖν ἔνεστιν; — ἀλλ' οὐχ ὁρᾷς κενήν. Eadem est codicis C. scriptura, nisi quod is ἔστιν habet. Brunckius dedit: φέρ' ἴδω, τί οὖν ἔνεστιν; — ἀλλ' ὁρᾷς κενήν.

V. 1223. ὁρᾷς τάδ' Elmsleius ad Acharn. p. 302. ed. Lips.. Legebatur ὁρᾷς νυν. νυν abest ab Iuntina I. et codice Ravennate. — ὅσον πλέα edd. ante Brunckium. ὅσων πλέα A., B., C., Bentleius, Berglerus, Reiskius.

ἐμοὶ δ' ἔδωκεν ἀποτεμὼν τυννουτονί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τοιαῦτα μέντοι καὶ πρότερον εἰργάζετο·
σοὶ μὲν προςεδίδου μικρὸν ὧν ἐλάμβανεν·
αὐτὸς δ' ἑαυτῷ παρετίθει τὰ μείζονα.

ΔΗΜΟΣ.

ὦ μιαρὲ, κλέπτων δή με ταῦτ' ἐξηπάτας;
ἐγὼ δέ τυ ἐστεφάνιξα κἀδωρησάμην.

ΚΛΕΩΝ.

ἐγὼ δ' ἔκλεπτον ἐπ' ἀγαθῷ γε τῇ πόλει.

ΔΗΜΟΣ.

κατάθου ταχέως τὸν στέφανον, ἵν' ἐγὼ τουτῳὶ
αὐτὸν περιθῶ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κατάθου ταχέως μαστιγία.

ΚΛΕΩΝ.

οὐ δῆτ', ἐπεί μοι χρησμός ἐστι Πυθικὸς
φράζων, ὑφ' οὗ χρεών ἔμ' ἡττᾶσθαι μόνον.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

τοὐμόν γε φράζων ὄνομα καὶ λίαν σαφῶς.

V. 1225. τυννουτονί A., B., C., Iuntina II., scholiastes, Brunckius. Scribebatur τυνουτονί.

V. 1227. Brunckius σμικρὸν.

V. 1230. Codex Ravennas ἐγὼ δέ τοι. Elmsleius ad Acharn. p. 61. ed. Lips. ἐγὼ δέ τ' ἐστεφάνιξα.

V. 1235. Libri omnes ὑφ' οὗ δεήσει μ' ἡττᾶσθαι μόνον, nisi quod in A. scriptum est δεήσειν ἡττᾶσθαι. Quod ego ex coniectura dedi, non contendam esse scriptum ab Aristophane: sed aliorum commentis praeferre non dubitavi. Brunckius: ὑφ' οὗ με δεῖ ποθ' ἡττᾶσθαι μόνον. ὑφ' οὗ 'δεήσέ μ' ἡττᾶσθαι μόνον Bentleius et Burneius in Monthly Review Febr. 1796.

ΚΛΕΩΝ.

καὶ μήν σ' ἐλέγξαι βούλομαι τεκμηρίῳ,
εἴ τι ξυνοίσεις τοῦ θεοῦ τοῖς θεσφάτοις.
καί σου τοσοῦτο πρῶτον ἐκπειράσομαι·
παῖς ὢν ἐφοίτας ἐς τίνος διδασκάλου;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐν ταῖσιν εὔστραις κονδύλοις ἡρμοττόμην.

ΚΛΕΩΝ.

πῶς εἶπας; ὥς μου χρησμὸς ἅπτεται φρενῶν.
εἶεν.
ἐν παιδοτρίβου δὲ τίνα πάλην ἐμάνθανες;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

κλέπτων ἐπιορκεῖν καὶ βλέπειν ἐναντία.

ΚΛΕΩΝ.

ὦ Φοῖβ' Ἄπολλον Λύκιε, τί ποτέ μ' ἐργάσει;
τέχνην δὲ τίνα ποτ' εἶχες ἐξανδρούμενος;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἠλλαντοπώλουν καὶ —

ΚΛΕΩΝ.

τί;

V. 1240. ἐς τινος B..

V. 1241. Suidas v. εὔστρα t. I. p. 911. et v. ἡρμοττόμην t. II. p. 76..

V. 1243. εἶεν abest ab libro Ravennate.

V. 1244. κλέπτειν edd. ante Brunckium, praeter principem. κλέπτων Aldina, B., C., Ravennas, *Vet.* in Scaligeri Excerptis, Brunckius. — ἐναντία codex Ravennas. Legebatur ἐναντίον.

V. 1245. Euripidis ex Telepho versus. — Λύκιε omittit codex Ravennas. — ποτ' ἔμ' Brunckius.

V. 1247. Libri omnes: ΑΛΛ. ἠλλαντοπώλουν. ΚΛ. καὶ τί;. Correxit Schaeferus ad schol. Apollonii Rh. p. 175. — Brunckius κἀβινεσκόμην. Vid. Schaeferum l. l.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ βινεσκόμην.

ΚΛΕΩΝ.

οἴμοι κακοδαίμων· οὐκέτ' οὐδέν εἰμ' ἐγώ.
λεπτή τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα.
καί μοι τοσοῦτον εἰπέ· πότερον ἐν ἀγορᾷ
ἠλλαντοπώλεις ἐτεὸν, ἢ 'πὶ ταῖς πύλαις;

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

ἐπὶ ταῖς πύλαισιν, οὗ τὸ τάριχος ὤνιον.

ΚΛΕΩΝ.

οἴμοι πέπρακται τοῦ θεοῦ τὸ θέσφατον.
κυλίνδετ' εἴσω τόνδε τὸν δυςδαίμονα.
ὦ στέφανε, χαίρων ἄπιθι, καί σ' ἄκων ἐγὼ
λείπω· σὲ δ' ἄλλος τις λαβὼν κεκτήσεται,
κλέπτης μὲν οὐκ ἂν μᾶλλον, εὐτυχὴς δ' ἴσως.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

Ἑλλάνιε Ζεῦ, σὸν τὸ νικητήριον.

ΔΗΜΟΣΘΕΝΗΣ.

ὦ χαῖρε καλλίνικε, καὶ μέμνησ' ὅτι
ἀνὴρ γεγένησαι δι' ἐμέ· καί σ' αἰτῶ βραχὺ,
ὅπως ἔσομαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.

V. 1249. Phrynichus in Bekkeri Anecdotis I. p. 49, 27..

V. 1255. Codex Ravennas οἴμοι κακοδαίμων.

V. 1257. Libri omnes tum Aristophanis tum Euripidis in Alcest. 180., unde haec leviter mutata petiit Aristophanes, οὐκ ἂν μᾶλλον. Sed Suidas v. κλέπτης t. II. p. 325. et v. οὐχὶ μᾶλλον t. II. p. 744. utrobique οὐχὶ μᾶλλον, probante Porsono.

V. 1259. — 1261. Demostheni haec tribuit codex Ravennas; choro reliqui libri.

V. 1260. γεγένησαι alii in Scaligeri Excerptis.

V. 1261. ὅπως ἔσομαί σοι codex Ravennas, Suidas v. Φανὸς t. III. p. 578., Porsonus in Censura p. 576.. Legebatur ὅπως γένω-

ΔΗΜΟΣ.

ἐμοὶ δέ γ' ὅ τι σοι τοὔνομ', εἰπέ.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

Ἀγοράκριτος·

ἐν τἀγορᾷ γὰρ κρινόμενος ἐβοσκόμην.

ΔΗΜΟΣ.

Ἀγορακρίτῳ τοίνυν ἐμαυτὸν ἐπιτρέπω,
καὶ τὸν Παφλαγόνα παραδίδωμι τουτονί.

ΑΛΛΑΝΤΟΠΩΛΗΣ.

καὶ μὴν ἐγώ σ' ὦ Δῆμε θεραπεύσω καλῶς,
ὥσθ' ὁμολογεῖν σε μηδέν' ἀνθρώπων ἐμοῦ
ἰδεῖν ἀμείνω τῇ Κεχηναίων πόλει.

ΧΟΡΟΣ.

τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοισιν
ἢ θοᾶν ἵππων ἐλατῆρας ἀείδειν,
μηδὲν ἐς Λυσίστρατον,
μηδὲ Θούμαντιν τὸν ἀνέστιον αὖ λυ-

μαί σοι. — Altera versus parte, φανὸς ὑπογραφεὺς δικῶν, utitur Eustathius ad Homerum p. 1667, 16.

V. 1263. ἐν τῇ ἀγορᾷ edd. ante Brunckium. ἐν τἀγορᾷ A., B., C.. ἐν τῇ 'γορᾷ Brunckius.

V. 1264. τοίνυν γ' ἐμαυτὸν edd. ante Brunckium. γε particula abest ab tribus Brunckii codicibus.

V. 1268. Scholiastes ad v. 1147. Respicit Eustathius ad Homerum p. 1999, 55.

V. 1269. — 1278. et 1295. — 1304. hemichoriis: 1279. — 1294. et 1305. — 1320. choro tribuit Brunckius.

V. 1269. — 1271. Suidas v. προσόδια t. III. p. 202.

V. 1271. Codex Ravennas ἐλατῆρος ἀίδειν.

V. 1272. — 1274. Suidas v. ἀνέστιος t. I. p. 260., v. Θούμαντις t. II. p. 200., v. Λυσίστρατος t. II. p. 476..

V. 1272. εἰς Suidas v. ἀνέστιος et v. Θούμαντις.

V. 1273. Θόμαντιν A dina, Iuntina II.. Θούμαντιν Scholiastes,

πεῖν ἑκούσῃ καρδίας.

καὶ γὰρ οὗτος, ὦ φίλ' Ἄπολλον, ἀεὶ πει-

νῇ, θαλεροῖς δακρύοισιν

σᾶς ἀπτόμενος φαρέτρας Πυθῶνι μὴ 'νδε-

ᾶ κακῶς κίνεσθαι.

λοιδορῆσαι τοὺς πονηροὺς οὐδέν ἐστ' ἐπίφθονον,
ἀλλὰ τιμὴ τοῖσι χρηστοῖς, ὅστις εὖ λογίζεται.
εἰ μὲν οὖν ἄνθρωπος, ὃν δεῖ πόλλ' ἀκοῦσαι καὶ κακὰ,
αὐτὸς ἦν ἔνδηλος, οὐκ ἂν ἀνδρὸς ἐμνήσθην φίλου.

Iuntina I. et inde a Frobeniana edd. omnes. — Aberat τὸν, quod restitui ex Iuntina I., codice Ravennate, Suida ll. ll.

V. 1275. Legebatur καὶ γὰρ οὑτοσὶ, φίλ' Ἄπολλον. Iuntina I. καὶ γὰρ οὑτοσὶ ὦ φίλ' Ἄπολλον. Codex Ravennas καὶ γὰρ οὗτος ὦ φίλ' Ἄπολλον. — ἀεὶ ex coniectura addidi.

V. 1276. Edd. ante Brunckium θαλεροῖσι δακρύοις. A., C. θαλεροῖς. Brunckius θαλεροῖσι δακρύοισιν.

V. 1277. 1278. Legebatur:

σᾶς ἁπτόμενος φαρέτρας
Πυθῶνι τὸ δίᾳ μὴ κακῶς κίνεσθαι

Articulum τὸ, infelicis critici additamentum, recte omittit praestantissimus liber Ravennas. Praeterea Πυθῶνι ἐς per linguae leges dici non potuit. Accedit hiatus non facile excusandus et metri perversitas quaedam, quae qualis sit, antistrophae comparatio docebit. Laborat etiam sensus verborum. Quare scribendum mihi olim videbatur:

σᾶς ἀπτόμενος φαρέτρας Πυθῶνι μὴ δι-
ανεκῶς κίνεσθαι.

Quod quum Reisigio meo indicassem, in aliam ille incidit emendationem, quam ut ad depravatae scripturae ductus propius accedentem praetuli.

V. 1279. — 1284. Suidas v. λοιδορεῖσθαι t. II. p. 464.

V. 1279. λοιδορεῖσθαι Suidas, scholiastes. Vid. Hemsterhus. ad Plutum p. 131.

V. 1280. ἀλογίζεται pro εὖ λογίζεται Suidae MS. Oxon.

V. 1281 — 1284. Suidas v. εἰ μὲν οὖν t. II. p. 27.

V. 1282. αὐτὸς codex Ravennas, Suidas v. εἰ μὲν οὖν in editione Mediolanensi et v. λοιδορεῖσθαι. Legebatur οὗτος. — ἦν pro ἣν Suidae ed. Mediolan. v. εἰ μὲν οὖν.

νῦν δ' Ἀρίγνωτον γὰρ οὐδεὶς ὅστις οὐκ ἐπίσταται,
ὅστις ἢ τὸ λευκὸν οἶδεν, ἢ τὸν ὄρθιον νόμον.
ἔστιν οὖν ἀδελφὸς αὐτῷ τοὺς τρόπους οὐ συγγενής,
Ἀριφράδης πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται·
ἔστι δ' οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην,
οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξεύρηκέ τι.
τὴν γὰρ αὑτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται,
ἐν κασαυρίοισι λείχων τὴν ἀπόπτυστον δρόσον,
καὶ μολύνων τὴν ὑπήνην, καὶ κυκῶν τὰς ἐσχάρας,
καὶ Πολυμνήστεια ποιῶν, καὶ ξυνὼν Οἰωνίχῳ.
ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.
ἦ πολλάκις ἐννυχίαισι
φροντίσι συγγεγένημαι,
καὶ διεζήτηχ', ὁπόθεν ποτὲ φαύλως
ἐσθίει Κλεώνυμος.
φασὶ μὲν γὰρ αὐτὸν ἐρεπτόμενον τὰ
τῶν ἐχόντων ἀνέρων,
οὐκ ἂν ἐξελθεῖν ἀπὸ τῆς σιπύης· τοὺς δ'

V. 1286. — 1294. Plura ex his versibus habet Suidas v. Ἀριφράδης t. I. p. 329.

V. 1287. 1288. In Iuntina I. exciderunt verba: οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην, οὐδὲ παμπόνηρος.

V. 1289. αὑτοῦ edd. ante Portum.

V. 1290. Suidas v. κασσαυρίοις t. II. p. 249. κασωρίοισι Stephanus Byz. v. κασώριον, κασαλβίοις varia lectio apud scholiasten et *Vet.* in Scaligeri Excerptis.

V. 1293. 1294. Suidas v. Πολύμνηστος t. III. p. 146.

V. 1293. λυμαίνεται Suidas l. l.. φυλάττεται idem v. Ἀριφράδης.

V. 1294. οὔποτ' codex Ravennas, Iuntina I., Suidas v. Πολύμνηστος, Toupius Em. in Pollucem t. IV. p. 369., Brunckius. Legebatur οὔτε ποτ'. οὐδέποτ' B.. κοὔποτ' Athenaeus t. IV. p. 136.. μήποτ' Suidas v. Ἀριφράδης. Conf. Reisig. I. p. 125.

V. 1299. φασὶ μὲν Bentleius. Aberat μὲν.

V. 1301. ἀπὸ τῆς σιπύης codex Ravennas. Legebatur ἀπὸ σιπύης.

ἀντιβολεῖν ἂν ὁμοίως·
ἴθ' ὦ ἄνα, πρὸς γονάτων, ἐξελθὲ καὶ σύγ-
γνωθι τῇ τραπέζῃ.
φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις ἐς λόγον,
καὶ μίαν λέξαι τιν' αὐτῶν, ἥτις ἦν γεραιτέρα·
οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τἀν τῇ πόλει;
φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν ἐς Καλχηδόνα
ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην, Ὑπέρβολον.
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο κοὐκ ἀνασχετόν,
καί τιν' εἰπεῖν, ἥτις ἀνδρῶν ἆσσον οὐκ ἐληλύθει·
ἀποτρόπαι', οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ'· ἀλλ' ἐάν με χρῇ,
ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομαι·
οὐδὲ Ναυφάντης γε τῆς Ναύσωνος, οὐ δῆτ' ὦ θεοί,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
ἢν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις, καθῆσθαί μοι δοκῶ

V. 1302. ἀντιβολεῖν ἂν ὁμοίως codex Ravennas, Dukerus, Reiskius. ἀντιβολεῖν ἀνομοίως edd. ante Brunckium. Pro ἀνομοίως in A. scriptum est ἀλλ' ὅμως. C. in textu vulgatam habet scripturam, in margine: γρ. ἐὰν ὁμοίως. Brunckius ex coniectura ἀντιβολεῖν ἐᾶν ὁμοίως.

V. 1305. ἐς Brunckius.

V. 1308. Καρχηδόνα libri omnes. Brunckius, praeeunte Scaligero et Palmerio, Χαλκηδόνα. Vid. ad v. 174. Recte Casaubonus Καλχηδόνα.

V. 1309. Codex Ravennas ἄνδρα πονηρὸν πολίτην.

V. 1311. Eustathius ad Homerum p. 1446, 5.

V. 1312. 1313. Suidas v. τερηδὼν t. III. p. 449.

V. 1312. Scribebatur χρῆ.

V. 1313. καὶ καταγηράσομαι Suidas l. l. in ed. Mediolan. et codice Oxoniensi.

V. 1315. Suidas v. εἴπερ t. II. p. 27.

V. 1316. ἂν δ' ἀρέσκῃ A. εἰ δ' ἀρέσκει C. εἰ δ' ἀρέσκοι edd. ante Brunckium. Ἀθηναίοις Bentleius, Brunckius. Ἀθηναίοισιν edd. ante Brunckium. — καθῆσθαί μοι δοκῶ εἰς τὸ Θησεῖον πλεούσαις. Ita recte libri omnes. Suidas v. Θησεῖον t. II. p. 196. καθῆσθαί μοι δοκῶ ἐπὶ τὸ Θησεῖον, ἢ ἐπὶ τῶν σεμνῶν θεῶν. Brunckius: καθῆσθαί μοι δοκεῖ εἰς τὸ Θησεῖον πλεούσας. δοκεῖ ante Brunckium con-

εἰς τὸ Θησεῖον πλεούσαις, ἢ 'πὶ τῶν σεμνῶν θεῶν.
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει·
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας, εἰ βούλεται,
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, καθελκύσας.

---

iecerat Reiskius in Actis eruditorum Lips. a. 1750. m. Iul. p. 419., indicatus a Porsono in Censura p. 570..

V. 1318. 1319. Suidas v. πλείτω t. III. p. 129..

ΑΓΟΡΑΚΡΙΤΟΣ. ΧΟΡΟΣ. ΔΗΜΟΣ.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

Εὐφημεῖν χρὴ καὶ στόμα κλείειν, καὶ μαρτυριῶν ἀπέχεσθαι,
καὶ τὰ δικαστήρια συγκλείειν, οἷς ἡ πόλις ἥδε γέγηθεν,
ἐπὶ καιναῖσιν δ' εὐτυχίαισιν παιωνίζειν τὸ θέατρον.

ΧΟΡΟΣ.

ὦ ταῖς θ' ἱεραῖς φέγγος Ἀθήναις καὶ ταῖς νήσοις ἐπίκουρε,
τίν' ἔχων φήμην ἀγαθὴν ἥκεις, ἐφ' ὅτῳ κνισῶμεν ἀγυιάς;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

τὸν Δῆμον ἀφεψήσας ὑμῖν, καλὸν ἐξ αἰσχροῦ πεποίηκα.

V. 1321. *ΑΛΛΑΝΤΟΠΩΛΗΣ*, non *ΑΓΟΡΑΚΡΙΤΟΣ*, hic et in sequentibus versibus edd. ante Brunckium.

V. 1322. Non debebat, ut opinor, Elmsleius ad Acharn. p. 57. ed. Lips. corrigere *ἥδ' ἐγεγήθην*.

V. 1324. Edd. ante Brunckium:

ὦ ταῖς ἱεραῖς νήσοις ἐπίκουρε καὶ φέγγος ἐν Ἀθήναις.

ἐν non habent A., C.. Valckenarius ad Euripidis Hippolyt. 1122.:

ταῖς ἡμετέραις ἐπίκουρε φανεὶς νήσοις καὶ φέγγος Ἀθήναις.

Brunckius:

ὦ ταῖς ἱεραῖς ἐπίκουρε φανεὶς νήσοις, καὶ φέγγος Ἀθήναις.

Codex Ravennas:

ὦ ταῖς ἱεραῖς φέγγος τ' Ἀθήναις καὶ ταῖς νήσοις ἐπίκουρε.

τ' eiicit Porsonus.

V. 1325. *κνισῶμεν* scholiastes. Scribebatur *κνισσῶμεν*. Brunckii editio typothetae, opinor, errore *κνίσσωμεν*.

V. 1326. *ὑμῖν* B., C., Brunckius. Legebatur *ἡμῖν*. *ἀπεψήσας ὑμῖν — πεποίηκας* Suidas v. *ἀπεψησάμην* t. I. p. 260..

ΧΟΡΟΣ.

καὶ ποῦ 'στιν νῦν, ὦ θαυμαστὰς ἐξευρίσκων ἐπινοίας;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ἐν ταῖσιν ἰοστεφάνοις οἰκεῖ, ταῖς ἀρχαίαισιν Ἀθήναις.

ΧΟΡΟΣ.

πῶς ἂν ἴδοιμεν ποίαν τιν' ἔχει σκευήν, ποῖος γεγένηται;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

οἷός περ Ἀριστείδῃ πρότερον καὶ Μιλτιάδῃ ξυνεσίτει.
ὄψεσθε δέ· καὶ γὰρ ἀνοιγνυμένων ψόφος ἤδη τῶν προπυλαίων.
ἀλλ' ὀλολύξατε φαινομέναισιν ταῖς ἀρχαίαισιν Ἀθήναις,
καὶ θαυμασταῖς καὶ πολυύμνοις, ἵν' ὁ κλεινὸς Δῆμος ἐνοικεῖ.

ΧΟΡΟΣ.

ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀριζήλωτοι Ἀθῆναι,
δείξατε τὸν τῆς Ἑλλάδος ἡμῖν καὶ τῆς γῆς τῆσδε μόναρχον.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ὅδ' ἐκεῖνος ὁρᾶν τεττιγοφόρας, ἀρχαίῳ σχήματι λαμπρός,

V. 1327. ποῦ 'στι edd. ante Brunckium.

V. 1328. Liber Ravennas ἰοστεφάνοισιν.

V. 1329. Ita Reisigius I. p. 151.. Libri omnes:
πῶς ἂν ἴδωμεν ποίαν ἔχει σκευὴν καὶ ποῖος γεγένηται.
Brunckius ex coniectura:
πῶς ἂν ἴδοιμεν, τίν' ἔχει σκευήν, καὶ ποῖός τις γεγένηται;
Porsonus:
πῶς ἂν ἴδοιμεν ποίαν τιν' ἔχει σκευὴν καὶ τίς γεγένηται;

V. 1332. φαινομέναισιν Porsonus. φαινομένῃσι C., Ravennas, φαινομέναις edd. ante Brunckium et B., superscripto ιν. φαινομένῃσιν A., Brunckius.

V. 1336. τεττιγοφόρας Porsonus. Legebatur τεττιγοφόρος. — ἀρχαίῳ libri omnes. τῷ 'ρχαίῳ Brunckius.

οὐ χοιρινῶν ὄζων, ἀλλὰ σπονδῶν, σμύρνῃ κατάλειπτος.

ΧΟΡΟΣ.

χαῖρ', ὦ βασιλεῦ τῶν Ἑλλήνων· καὶ σοὶ ξυγχαίρομεν ἡμεῖς.
τῆς γὰρ πόλεως ἄξια πράττεις καὶ τοῦ 'ν Μαραθῶνι τροπαίου.

ΔΗΜΟΣ.

ὦ φίλτατ' ἀνδρῶν, ἐλθὲ δεῦρ' Ἀγοράκριτε.
ὅσα με δέδρακας ἀγάθ' ἀφεψήσας.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ἐγώ;
ἀλλ' ὦ μέλ' οὐκ οἶσθ' οἷος ἦσθ' αὐτὸς πάρος,
οὐδ' οἷον ἔδρας· ἐμὲ γὰρ νομίζοις ἂν θεόν.

ΔΗΜΟΣ.

τί δ' ἔδρων πρὸ τοῦ, κάτειπε, καὶ ποῖός τις ἦ;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

πρῶτον μὲν, ὁπότ' εἴποι τις ἐν τἠκκλησίᾳ·
ὦ Δῆμ', ἐραστής εἰμι σὸς φιλῶ τέ σε,
καὶ κήδομαί σου, καὶ προβουλεύω μόνος·
τούτοις ὁπότε χρήσαιτό τις προοιμίοις,
ἀνωρτάλιζες κἀκερούτιας.

V. 1337. Scholiastes ad Vespas 332. — χοιρίνων edd. ante Brunckium.

V. 1338. Scribebatur καί σοι.

V. 1339. τοῦ Μαραθῶνι probabiliter Bentleius et Elmsleius ad Acharn. p. 108. ed. Lips.

V. 1344. Ita liber Ravennas. Legebatur τί δ' ἔδρων, κάτειπέ μοι, πρὸ τοῦ; ποῖός τις ἦ; ἦν A., C., al. B.

V. 1347. μόνος Vet. in Scaligeri Excerptis.

V. 1348. 1349. Suidas v. ἀνορταλίζειν t. I. p. 216.

V. 1349. Etymolog. M. c. 634, 13.

ΔΗΜΟΣ.

ἐγώ;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

εἶτ' ἐξαπατήσας σ' ἀντὶ τούτων ᾤχετο.

ΔΗΜΟΣ.

τί φής;
ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾐσθόμην;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

τὰ δ' ὦτά γ' ἄν σου νὴ Δί' ἐξεπετάννυτο
ὥσπερ σκιάδιον καὶ πάλιν ξυνήγετο.

ΔΗΜΟΣ.

οὕτως ἀνόητος ἐγεγενήμην καὶ γέρων;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

καὶ νὴ Δί' εἴ γε δύο λεγοίτην ῥήτορε,

V. 1351. Legebatur:

τί φής; τοιαῦτά μ' ἔδρων, ἐγὼ δ' οὐκ ᾐσθόμην;.

Liber Ravennas:

τί φής; ταυτί μ' ἔδρων, ἐγὼ δὲ τοῦτ' οὐκ ᾔδειν;.

V. 1352. τὰ δ' ὦτά γ' ἄν σου codex Ravennas. Reliqui libri τὰ δ' ὦτα γάρ σου.

V. 1353. σκιάδειον A., Brunckius. Reliqui libri, etiam Ravennas, σκιάδιον.

V. 1355. Ita Porsonus in Adversariis p. 56. Edd. ante Brunckium:

καὶ νὴ Δία γ', εἰ δύω λεγοίτην ῥήτορε.

δύο A., C. Brunckius ex coniectura:

καί, νὴ Δία γ', εἰ δύο σοι λεγοίτην ῥήτορε.

Elmsleius ad Acharn. p. 170. ed. Lips.:

καί, νὴ Δί', ὅτε γε δύο λεγοίτην ῥήτορε.

Reisigius I. p. 255.:

καὶ νὴ Δί', εἰ δύο γε λεγοίτην ῥήτορε.

ὁ μὲν ποιεῖσθαι ναῦς μακράς, ὁ δ' ἕτερος αὖ
καταμισθοφορῆσαι τοῦθ'· ὁ τὸν μισθὸν λέγων
τὸν τὰς τριήρεις παραδραμὼν ἂν ᾤχετο.
οὗτος, τί κύπτεις; οὐχὶ κατὰ χώραν μενεῖς;

ΔΗΜΟΣ.

αἰσχύνομαί τοι ταῖς πρότερον ἁμαρτίαις.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ἀλλ' οὐ σὺ τούτων αἴτιος, μὴ φροντίσῃς·
ἀλλ' οἵ σε ταῦτ' ἐξηπάτων. νῦν δὴ φράσον·
ἐάν τις εἴπῃ βωμολόχος ξυνήγορος·
οὐκ ἔστιν ὑμῖν τοῖς δικασταῖς ἄλφιτα,
εἰ μὴ καταγνώσεσθε ταύτην τὴν δίκην·
τοῦτον τί δράσεις, εἰπέ, τὸν ξυνήγορον;

ΔΗΜΟΣ.

ἄρας μετέωρον ἐς τὸ βάραθρον ἐμβαλῶ,
ἐκ τοῦ λάρυγγος ἐκκρεμάσας Ὑπέρβολον.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

τουτὶ μὲν ὀρθῶς καὶ φρονίμως ἤδη λέγεις·

V. 1356. ναῦς μακρὰς A., Brunckius. Reliqui libri, in quibus etiam Ravennas, ναῦς λέγων.

V. 1357. καταμισθοφορῆσαι τοῦθ'· ὁ τὸν μισθὸν λέγων —. Ita A. et Bentleius, non repugnante Brunckio in annotationibus. Legebatur: καταμισθοφορῆσαι· τοῦτον ὁ τὸν μισθὸν λέγων —. Vulgata scriptura est in B., C.; sed in B. τοῦθ' superscriptum. Elmsleius ad Acharn. p. 72. ed. Lips.:

καταμισθοφορεῖν· τοῦτον ὁ τὸν μισθὸν λέγων —.

V. 1360. ταῖς προτέραις A., Suidas v. αἰσχύνομαι t. I. p. 663., Zonaras t. I. c. 95. — ἁμαρτίαις Aldina, Iuntina I., Suidae ed. Mediolanensis.

V. 1362. νῦν δὲ φράσον edd. ante Brunckium.

V. 1367. 1368. Suidas v. Ὑπέρβολον t. III. p. 539.

V. 1367. ἐς A., B., C., Brunckius. Scribebatur εἰς: quod habet Suidas.

τὰ δ' ἄλλα φράζ' ἡμῖν, πῶς πολιτεύσει; φράσον.

ΔΗΜΟΣ.

πρῶτον μὲν ὁπόσοι ναῦς ἐλαύνουσιν μακράς,
καταγομένοις τὸν μισθὸν ἀποδώσω 'ντελῆ.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.

ΔΗΜΟΣ.

ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ
οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται·
ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

τοῦτ' ἔδακε τὸν πόρπακα τοῦ Κλεωνύμου.

ΔΗΜΟΣ.

οὐδ' ἀγοράσει γ' ἀγένειος οὐδεὶς ἐν ἀγορᾷ.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ποῦ δῆτα Κλεισθένης ἀγοράσει καὶ Στράτων;

ΔΗΜΟΣ.

τὰ μειράκια ταυτὶ λέγω, τὰν τῷ μύρῳ,
ἃ στωμυλεῖται τοιαδὶ καθήμενα.

V. 1373. πολλοῖς δ' liber Ravennas. — ὑπολίσφοις Brunckius in annotationibus.

V. 1374. ἔπειτα πολίτης Iohn Seager in the classical Journal IV. p. 716. Vulgata scriptura utitur Suidas v. κατάλογος t. II. p. 258.

V. 1375. μετεγγραφήσεται MS. Vat. Pal., A., B., C., Suidas l. l., Brunckius. μεταγραφήσεται edd. ante Brunckium.

V. 1377. τοῦ Κλεωνύμου Brunckius tacite, et ut videtur, codex Ravennas. Legebatur τὸν Κλεωνύμου.

V. 1378. Liber Ravennas: γ' ἀγένειος ἐν ἀγορᾷ οὐδείς.

V. 1380 — 1385 Agoracrito continuantur in edd. ante Brunckium.

σοφός γ' ὁ Φαίαξ, δεξιῶς τ' οὐκ ἀπέθανεν.
ξυνερκτικὸς γάρ ἐστι, καὶ περαντικὸς,
καὶ γνωμοτυπικὸς, καὶ σαφὴς, καὶ κρουστικὸς,
καταληπτικός τ' ἄριστα τοῦ θορυβητικοῦ.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

οὔκουν καταδακτυλικὸς σὺ τοῦ λαλητικοῦ;

ΔΗΜΟΣ.

μὰ Δί' ἀλλ' ἀναγκάσω κυνηγετεῖν ἐγὼ
τούτους ἅπαντας, παυσαμένους ψηφισμάτων.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

ἔχε νυν ἐπὶ τούτοις τουτονὶ τὸν ὀκλαδίαν,
καὶ παῖδ' ἐνόρχην, ὅσπερ οἴσει τόνδε σοι.
κἄν που δοκῇ σοι, τοῦτον ὀκλαδίαν ποίει.

V. 1382.—1386. Suidas v. Φαίαξ t. III. p. 587.

V. 1382. δεξιὸς ὁ Φαίαξ καὶ σοφῶς οὐκ ἀπέθανεν B.. δεξιός γ' ὁ Φαίαξ σοφῶς τ' οὐκ ἀπέθανε C.. σοφός γ' ὁ Φαίαξ δεξιῶς ἐμάνθανε A.. Hinc Brunckius:

δεξιὸς ὁ Φαίαξ, καὶ σοφῶς ἐμάνθανε.

Vulgatam scripturam, codice Ravennate confirmatam, restituit Invernizius. Apud Suidam in ed. Mediolanensi et codice Oxoniensi scriptum est: σοφὸς ὁ Φαίαξ, δεξιός τ' οὐκ ἀπέθανε. δεξιός τ' οὐκ ἀπέθανε probat Toupius Em. in Suid. t. II. p. 336..

V. 1383. ξυνερκτικὸς A., B., C., Brunckius. Scribebatur συνερκτικὸς. ξυνειρκτικὸς Brunckius in annotationibus. συνεριστικὸς Suidas v. Φαίαξ. συνερκτικὸς idem t. III. p. 400.

V. 1386. Choro tribuunt edd. ante Brunckium. Scholiastes: ἄδηλος ὁ στίχος, καὶ πάντες αὐτὸν ἐσημειώσαντο διὰ τὸ ἀκατάλληλον· ἄδηλον γὰρ τίς τίνι λέγει. Spurius versus videbatur Scaligero. — οὐκοῦν edd. ante Brunckium, sine interrogationis signo in fine versus. οὔκουν Suidas v. Φαίαξ, Brunckius tacite.

V. 1389. ἔχε νῦν edd. ante Brunckium.

V. 1390. ἔνορχιν A., quod praeferendum esset, si aliorum librorum accesserit auctoritas.

ΔΗΜΟΣ.

μακάριος ἐς τἀρχαῖα δὴ καθίσταμαι.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

φήσεις γ᾽, ἐπειδὰν τὰς τριακοντούτιδας
σπονδὰς παραδῶ σοι. δεῦρ᾽ ἴθ᾽ αἱ Σπονδαὶ ταχύ.

ΔΗΜΟΣ.

ὦ Ζεῦ πολυτίμηθ᾽, ὡς καλαί· πρὸς τῶν θεῶν,
ἔξεστιν αὐτῶν κατατριακοντουτίσαι;
πῶς ἔλαβες αὐτὰς ἐτεόν;

ΑΓΟΡΑΚΡΙΤΟΣ.

οὐ γὰρ ὁ Παφλαγὼν
ἀπέκρυπτε ταύτας ἔνδον, ἵνα σὺ μὴ λάβῃς;
νῦν οὖν ἐγώ σοι παραδίδωμ᾽ εἰς τοὺς ἀγροὺς
αὐτὰς ἰέναι λαβόντα.

ΔΗΜΟΣ.

τὸν δὲ Παφλαγόνα,
ὃς ταῦτ᾽ ἔδρασεν, εἴφ᾽ ὅ τι ποιήσεις κακόν.

ΑΓΟΡΑΚΡΙΤΟΣ.

οὐδὲν μέγ᾽ ἀλλ᾽ ἢ τὴν ἐμὴν ἕξει τέχνην·
ἐπὶ ταῖς πύλαις ἀλλαντοπωλήσει μόνος,
τὰ κύνεια μιγνὺς τοῖς ὀνείοις πράγμασιν,
μεθύων τε ταῖς πόρναισι λοιδορήσεται,

V. 1393. φήσεις δ᾽ codex Ravennas. Vid. ad Pacem 905.

V. 1397. πῶς ἔλαβε ταύτας edd. ante Brunckium. ἔλαβες ταύτας A., B., C.. ἔλαβες αὐτὰς Bentleius, Brunckius.

V. 1398. σὺ μὴ MS. Vat. Pal., B., Brunckius in annotationibus. σὺ μὴ λάβῃς vel μὴ συλλάβῃς Bentleius. Legebatur μὴ σὺ λάβῃς, quod habet codex Ravennas. — λάβῃς Brunckius. Conf. Reisig. I. p. 212.

V. 1403. Brunckius τοῖσι.

V. 1404. πράγμασι Brunckius.

κἀκ τῶν βαλανείων πίεται τὸ λούτριον.

ΔΗΜΟΣ.

εὖ γ' ἐπενόησας, οὗπέρ ἐστιν ἄξιος,
πόρναισι καὶ βαλανεῦσι διακεκραγέναι,
καὶ σ' ἀντὶ τούτων ἐς τὸ πρυτανεῖον καλῶ,
ἐς τὴν ἕδραν θ', ἵν' ἐκεῖνος ἦν ὁ φαρμακός.
ἕπου δὲ ταυτηνὶ λαβὼν τὴν βατραχίδα·
κἀκεῖνον ἐκφερέτω τις ὡς ἐπὶ τὴν τέχνην,
ἵν' ἴδωσιν αὐτὸν, οἷς ἐλωβᾶθ', οἱ ξένοι.

V. 1406. Ita Elmsleius ad Acharn. p. 53. ed. Lips.. Legebatur: κἀκ τῶν βαλανείων αὖ τὸ λοῦτρον (λουτρὸν Brunckius) πίεται. Suidas v. λοῦτρον t. II. p. 460. καὶ τῶν βαλανείων πίεται τὸ λοῦτρον.

V. 1409. 1410. Suidas v. ἕδρα t. I. p. 680., qui in utroque versu εἰς pro ἐς habet.

V. 1413. οἷς ἐλωβᾶθ' codex Ravennas. Legebatur οὓς. Phrynichus in Bekkeri Anecdotis I. p. 50, 29.: λωβᾶσθαι τόνδε καὶ τῷδε, αἰτιατικῇ καὶ δοτικῇ. Eandem huius verbi constructionem Platoni restituit Bekkerus t. I., 2. p. 153.. Alia exempla habet Creuzerus ad Plotinum de pulcritudine p. 244.

LIPSIAE
IMPRESSIT BENEDICT. GOTTHILF TEUBNER.

